οὐ τὰς φρένας ἔχεις ὁμοίας, vi. Helen. 161. μαψίδιον ἔχει φάτιν, ibid. 251. ἔχεις ἀλγεινὰ, ibid. 352. σφαγαὶ ἔχουσιν εὐγενές τι καὶ καλὸν, ibid. 300. πῶς εὐμενείας — ἔχεις; ibid. 312. πρὸς τὰς τύχας τὸ χάρμα τοὺς γόους τ' ἔχει, ibid. 320. τὰν χθόνιον ἔχει τύχαν, ibid. 344. Τροίας ἣν ἀποσπάσας ἔχω, ibid. 412. ἐκ μὴ 'χόντων βίον, οὐδ' εἰ θέλοιεν ὠφελεῖν, ἔχοιεν ἂν, ibid. 433. τίνα τὸ πρᾶγμ' ἔχει λόγον; ibid. 472. οὐκ ἔχω, τί χρὴ λέγειν, ibid. 495. στολὴν ἄμορφον ἀμφὶ σῶμ' ἔχεις, ibid. 553. αὐτός σε, κἀμ' ἔχει λόγος, ibid. 557. οὐδ' ἔχω, τί φῶ, ibid. 563. ὅθεν σὺ θεοπόνητ' ἔχεις λέχη, ibid. 583. δοκοῦντες Ἑλένην οὐκ ἔχοντ' ἔχειν Πάριν, ibid. 610. ἔχω τὰ τοῦ Διὸς λέκτρα, ibid. 636. ἔχεις μ' ἔχω τέ σε, ibid. 651. οὐ σαφῶς ἔχω, ibid. 700. τὰς φρένας ἔχειν κακὰς, ibid. 731. ἀρίστην μαντικὴν ἔχοι δόμοις, ibid. 759. εἰ λέκτρα διέφυγες τάδ', οὐκ ἔχω, ibid. 793. τὴν βίαν σκήψασ' ἔχεις, ibid. 833. τῆς τύχης ὧδ' ἔχω, ibid. 856. τἀμὰ πῶς ἔχει θεσπίσματα; ibid. 872. ὅπως ἂν τοὐμὸν ἀσφαλῶς ἔχῃ, ibid. 892. ὁ νοῦς — γνώμην ἔχει ἀθάνατον, ibid. 1014. ἣν (sc. ναῦν) εἴχομεν, θάλασσ' ἔχει, ibid. 1047. ἀΐδαν μέλεον ἔχουσιν, ibid. 1122. οὐδ' ἔχω, τί τὸ σαφὲς — ἐν βροτοῖς, ibid. 1147. δοκῶ μὲν κἀμὸν ὧδ' ἔχειν πόσιν, ibid. 1204. ἔχει πότμον, ibid. 1285. μῆνιν ἔχεις μεγάλας ματρὸς, ibid. 1354. γάμους ἑτοίμους ἐν χεροῖν ἔχειν, ibid. 1385. ἕξεις μ', οἵαν χρή σ' ἔχειν γυναῖκα, ibid. 1406. οἷς ταῦτ' ἔδοξεν ὧδ' ἔχειν, ibid. 1660. οἳ γῆν ἔχουσ' Εὐβοΐδα, vii. Ion. 60. et vii. Rhad. Fr. I. θεοῖσι δούλαν χέρ' ἔχειν, vii. Ion. 131. ἔχω μαθοῦσα, ibid 231. τὸ σὸν οὐκ ἀπαιδεύτως ἔχει, ibid. 250. οἴκοι τὸν νοῦν ἔχομεν, ibid. 254 ἔχεις βίοτον; ibid. 329. ἔχω πάνθ', ὅσων ἐχρῄζομεν, ibid. 420. ὑπερβαλλούσας ἔχει εὐδαιμονίας, ibid. 475. τοῦτο κἄμ' ἔχει πόθος, ibid. 574. τί πρὸς γῆν ὄμμα σὸν βαλὼν ἔχεις; ibid. 584. δῶμα συγχέας ἔχῃς, ibid. 617. ἔχειν πόνους, ibid. 633. σμικρὰ ἡδέως ἔχειν, ibid. 649. cf. ver. 1603. σκῆπτρα ἔχειν χθονὸς, ibid. 662. cf. vii. Herc. Fur. 212 οὐκ ἔχει παῤῥησίαν, vii. Ion. 677. μή τιν' ἔχῃ δόλον, ibid. 688. cf. ver. 693. ἔχοι σκῆψιν, ibid. 721. οὐ καταισχύνασ' ἔχεις τοὺς σοὺς, ibid. 736. πημάτων ἅδην ἔχω, ibid. 975. ἔχω δόλια καὶ δραστήρια, ibid. 985. τροφὰς ἔχει βίου, ibid. 1013. οὐκ ἔχω λαβεῖν, ibid. 1108. τίς προθυμία ποδῶν ἔχει σε, ibid. 1110. ἱερὸν τὸ σῶμα τῷ θεῷ δίδωμ' ἔχειν, ibid. 1284. ἔχειν ἴσον, ibid. 1317. οὓς ἔχω λόγους, ibid. 1334. ἔχει μοι τί κέρδος, ἢ τίνα βλάβην; ibid. 1349. οὐκ ἔχω λέγειν, ibid. 1359. ἐξ ἡμῶν ἔχεις ἅπαντα, ibid. 1366. ἔχει τι δεινὸν ἡ τόλμα σου, ibid. 1415. πνεύματ' ἀνέμων οὐκ ἀεὶ ῥώμην ἔχει, vii. Herc. Fur. 102. ἔχει τοὐμὸν οὐκ ἀναίδειαν, ἀλλ' εὐλάβειαν, ibid. 164. οὐκ ἔχει τῷ σώματι θάνατον ἀμῦναι, ibid. 192. ὅσοι τόξοις χεῖρ' ἔχουσιν εὔστοχον, ibid. 194. ἐναντίαν γνώμην ἔχουσι, ibid. 204. ἀφορμὰς τοῖς λόγοισιν ἔχουσι, ibid. 237. γῆν τήνδε διολέσας ἔχεις, ibid. 264. ὀργὰς δικαίας ἔχειν, ibid. 276. ἡδὺ βλέμμ' ἔχειν, ibid. 306. τὸ Κάδμου ἑπτάπυλον ἔχει κράτος, ibid. 542. ἔχουσιν (sc. χρήματα), οἱ δ' οὔ, ibid. 636. μετρίως σπουδὴν ἔχειν, ibid. 709. ἔχει ἡδονὰς, ibid. 732. τί πόνους διπλοῦς ἔχω; ibid. 932. φόνον ἔχω λέξαι, ibid. 1016. νὺξ ἔχει βλέφαρα παιδὶ σῷ, ibid. 1063. νεκροῖσι γείτονας θάκους ἔχω, ibid. 1088. οὐ γὰρ ἄτας εὐπροσηγόρους ἔχω, ibid. 1275. χάριν μυρίων δώρων ἔχω, ibid. 1344. ἀμηχανῶ, πότερ' ἔχω τάδε, ibid. 1370. ἡμᾶς ἔχεις παιδοκτόνους σοὺς, ibid. 1372. παῖδ' ὅπως ἔχω σ' ἐμὸν, ibid. 1394. οὕτω πόνων σῶν οὐκέτι μνήμην ἔχεις; ibid. 1403. ἅλις ἔχεις τἄξωθεν ἔργα, vii. Electr. 73. πολλῶν κακῶν αἰτίαν ἔχει, ibid. 213. κοινῇ δίδωμι τοῦτο νῷν ἀμφοῖν ἔχειν, ibid. 232. τὸν αὐτὸν ἔρον ψυχῆς ἔχω, ibid. 297. οὐδὲν τῶνδ' ἔχουσιν ἐνδεές, ibid. 356. ἔχουσι ταραγμὸν αἱ φύσεις βροτῶν, ibid. 368. ἔχει νόσον πενία, ibid. 375. τί διάβροχον τόδ' ὄμμ' ἔχεις; ibid. 503. ἔχω σ' ἀέλπτως, ibid. 579 φίλας ἡδονὰς ἀσπασμάτων ἔχω, ibid. 597. ἐν χειρὶ τῇ σῇ πάντ' ἔχεις, ibid. 610. τὰν πίστιν σμικρὰν παρ' ἐμοί γ' ἔχει, ibid. 738. ἔχει ἡ Δίκη μέγα σθένος, ibid. 958. ἣν ἀξίως μισεῖν ἔχεις, ibid. 1016. ἡ δίκη αἰσχρῶς ἔχει, ibid. 1051. ἡνίκ' οὐκ ἔχεις ἄκη, ibid. 1111. τί πόσιν σὸν ἄγριον εἰς ἡμᾶς ἔχεις; ibid. 1116. δίκαια ἥδ' ἔχει, ibid. 1242. τίς δεσπότιν ἐμὴν βάξις ἔχει; vii. Dan. 54. τῷ μὲν ἔσθ', ὁ δ' οὐκ ἔχει, vii. Æol. Fr. XIII 3. τὴν ἀξίωσιν τῶν καλῶν ἔχειν, ejusd. Fr. XX. 4. ἴδιον οὐδὲν ἔχομεν, vii. Alex. Fr. XII. 6. χρυσὸν ἐν δόμοις ἔχειν, vii. Andromed. Fr. XVI. 1. ἔχει κουφότητα μόχθων, ejusd. Fr. XXII. 3. ἕν γ' ἔχει τι χρηστὸν, vii. Antig. Fr. VIII. 2. θάνατος ἀνθρώποισι νεικέων τέλος ἔχει, ejusd. Fr. XVI. 2. ὅταν ἔχῃ τιν' ἀσεβῆ βροτῶν, vii. Antiop. Fr. II. εἰ φρονεῖν ἔχω, ejusd. Fr. V. 2. εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι, ejusd. Fr. XIX. 2. ἔχει λόγον, ejusd. Fr. XXIII. 1. ἡδονὴν ἔχει τινὰ, ejusd. Fr. XXIV. 2. cf. vii. Bell. Fr. XV. 2. vii. Pol. Fr. IV. 2. et vii. Fr. inc. XLVII. 1. τὸ μὴ θανεῖν οὐκ ἔχει (sc. ἡ τυραννὶς), τὰ δ' ἄλλ' ἔχει, vii. Archel. Fr. IX. 2. ἔχει τοῦτ' οὐχὶ μικρὸν, ejusd. Fr. XI. 1. κἂν μίκρ' ἔχει τις, μεγάλ' ἔχειν νομίζεται, vii. Aug. Fr. VII. 4. τίν' ἔχει στάσιν εὐοδίας, vii Bell. Fr. I. 4. χέρ' ἀνδρείαν ἔχοι, vii. Chrys. Fr. III. 1. μικρὰ μεγάλων ἀμείνω σώφρος' ἐν δόμοις ἔχειν, vii. Cress. Fr. IV. 5. ὀλίγ'

ἔχω φράσαι καλὰ, vii. Dict. Fr. x. 1. οὐρανὸν — ἔχομεν εὖ συγκεκραμένον, vii. Erechth. Fr. i. 15. φρένας ἠπίους ἔχειν, ejusd. Fr. ii. 6 οὐκ ἔχει σωτηρίαν, ibid. 13. ἔχειν πειρῶ, ibid. 14. τοὺς γάμους τοὺς πρώτους ἔχειν, ibid. 15. δυσκρίτως ἔχω, ejusd. Fr. xii. 1. ἄν τις οἶκοι πλουσίαν ἔχῃ φάτνην, vii. Eurysth. Fr. vi. 1. τὸ γῆρας ὡς ἔχει πολλὰς νόσους, vii. Glauc. Fr. iii. 1. cf. ejusd. Fr. iv. et vii. Fr. inc. lxxvii. ἔχω τόλμης καὶ θράσους διδάσκαλον, vii. Hipp. Fr. vi. 1. ἔχειν φωνὴν, ejusd. Fr. ix. 1. ὀστιπλείστας ἔχειν γυναῖκας, vii. Inus Fr. vii. 2. τὰ αἰσχρὰ — κατ' ὀφθαλμοὺς ἔχει, ejusd. Fr. x. 3. ἄν 'ν ἔχῃς ἄνευ ψόγου, ejusd. Fr. xv. 1. ἐν ἐλπίσιν ἔχειν βίον, ejusd. Fr. xviii. πλέον ἔχειν, vii. Ixion. Fr. ii. 1. ὅστις ἀμείλικτον πατέρ' ἔχει, vii. Melan. Fr. xiii. 1. οἵτινες ἀχάλιν' ἔχουσι στόματα, ejusd. Fr. xx. 4. οὐκ ἔχουσιν ἐν μάχῃ ἀριθμὸν, vii. Meleagr. Fr. vii. 1. ὅταν τις μὴ φρένας καλὰς ἔχῃ, vii. Œd. Fr. viii. 2. ἡμέρα μεταβολὰς πολλὰς ἔχει, ejusd. Fr. xii, ὅταν νοτίδος ἐνδεῶς ἔχῃ, ejusd. Fr. xvii. 8. οὐκ ἔχω μαθεῖν, vii. Œnom. Fr. ii. 1. ἀμηχάνως ἔχει, ejusd. Fr. iii. 5. μορφὴν ἔχουσι, vii. Palam. Fr. iii. 2. ὃς ἂν πλεῖστ' ἔχει, ibid. 5. σύγχυσιν πολλὴν ἔχει, vii. Peliad. Fr. iii. 2. παρθένου τρόπους ἔχειν, ejusd. Fr. vi. 3. τυφλὰς ἔχουσι τὰς φρένας, vii. Phaëth. Fr. v. 4. τἀγγύθεν εὔκρατ' ἔχει, ejusd. Fr. xiv. τὴν ὀργὴν ἔχειν ἀθάνατον, vii. Phil. Fr. x. 2. εὖ ὡς γαμεῖν ἔχεις, ejusd. Fr. xi. 2. δόξαν εὐκλείας ἔχειν, vii. Rhad. Fr. ii. 10. ἐπικινδύνως ἔχει, vii. Scyr. Fr. i. 1. ἵνα τὴν ὕβριν δούλην ἔχῃ, vii. Sisyph. Fr. i. 7. οὐκ ἔχει βίον, vii. Sthenob. Fr. i. 2. καλῶς ἔχοιμι, vii. Teleph. Fr. ix. θυμοῦ κρείσσονα γνώμην ἔχειν, ejusd. Fr. xvii. ὅσην ἔχει φρόνησιν ἀξίωμά τε, vii. Temen. Fr. xiii. 2. τιμὴν ἔχει τινὰ, ibid. 4. οὐκ ἔχουσ', ὅπως δείξωσιν αὑτοὺς, ejusd. Fr. xiv. 1. εὔκλειαν ἔχει, vii. Fr. fals. cit. i. 1. πρῶτ' ἀμουσίας ἔχει, vii. Fr. inc. xii. 2. ἀσφάλειαν οὐκ ἔχει, eorund. xxv. σιγὴν ἔχε, eorund. xxxvi. ἡ εὐλάβεια σκότον ἔχει, eorund. li. 8. παρέξω λέκτρα σοι καλῶς ἔχειν, eorund. lii. 1. ἄν πόσιν στέργοντ' ἔχῃ, eorund. lvi. τῶν παλαιῶν πόλλ' ἔπη καλῶς ἔχει, eorund. lix. 1. ὧν ἔχουσιν οἱ νέοι, eorund. lxxvi. 2. οἵαν ἐλπίδ' ἡδονῆς ἔχεις; eorund. lxxviii. 1. τὸ ἔχειν πλέον κρατεῖ τῆς εὐσεβείας, eorund. lxxxvi. 2. ἔχει τελευτὴν ἥσπερ οὕνεκ' ἐγένετο, eorund. cviii. ὁ βίος ὄνομ' ἔχει, eorund. cxxii. ζημίαν οὐκ ἔχει, eorund. cxxxii. 5. ἔχειν πόνους, eorund. cxlviii. 8. λύπης ἡδονῆς τ' ἔχειν μέρος, eorund. clii. 10. πνεύματα καὶ φοινίας ἔχει ῥοὰς, eorund. clxxxiii. πάντα συλλαβὼν ἔχει, eorund. cxcii. τὸ δίκαιον οὐκ ἔχει λόγον δυοῖν ἐρίζειν, vii. Fr. inc. B. x. 1. πολεμίαν δάμαρτ' ἔχειν, eorund. xvii. ἐπὰν — ζητεῖ τι κρεῖττον, ὧν ἔχει — eorund. xx 2. τἀμὰ καλῶς ἔχει, eorund. xxvii. 2. τὰ μεγάλα — ἔχειν δυνάμενος, eorund. xxviii. 5. χρυσός ἐστιν, ὃς βροτῶν ἔχει κράτος, eorund. xxxvi. ἀμαθίαν ἔχει, eorund. xl. 2. πολλὰ καὶ ἕτερα εἰπεῖν ἔχω, vii. Epist. iii. lin. 22. ἐλάττω χάριν ἔχειν, ibid. lin. 26. cf. vii. Epist. iv. lin. 11. ἔχουσιν ἀπόμοιραν τῆς σῆς εὐπραξίας, vii. Epist. iv. lin. 41. ἄν τι πλεῖον ἔχωσι, vii. Epist. v. lin. 116. b) Imperf. πολλὴν πρόνοιαν εἶχεν, i. Hec. 567. οὐδεὶς τὸν αὐτὸν εἶχεν πόνον, ibid. 570. οὐκ ἂν εἶχον τήνδε σοι δοῦναι χάριν, ibid. 887. μέγαν χόλον σοὶ καὶ τέκνοισιν εἶχεν, ibid. 1101. τὰς ἐμὰς εἶχον χέρας καὶ κῶλα, ibid. 1145. ἐπεὶ πέριξ πύργος εἶχ' ἔτι πτόλιν, ibid. 1191. εἶχες ἂν καλὸν κλέος, ibid. 1207. τίν' εἶχες ψυχήν; i. Orest. 519. σῷ εὔνοιαν πατρὶ ἀεί ποτ' εἶχον, ibid. 860. εἴ γε λαιμοὺς εἶχε τριπτύχους θανεῖν, ibid. 1528. ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον ἄν, ii. Phœn. 412. πολὺν ταραγμὸν — εἶχον μάχης, ibid. 1421. οὐ τοῦτό σ' εἶχεν, ii. Med. 591. εἶχον ἐλπίδας πολλὰς ἐν ὑμῖν, ibid. 1028. πρόθυμον εἶχ' ὀφθαλμὸν εἰς Ἰάσονα, ibid. 1143. ἀραρότως ξύνδεσμα χρυσὸς εἶχε, ibid. 1190. τύχην εἴχομεν διδάσκαλον, ibid. 1200. ἵν' εἶχον μητε προσφωνεῖν τινα, iii. Hipp. 645. ἐπεὶ πολλῶν δακρύων εἶχεν κόρον, iii. Alcest. 186. κάρτ' ἂν εἶχον ἡσύχως, iv. Suppl. 315. φρόνημα οὐδέν τι μεῖζον εἶχεν, ibid. 873. τὸ πρᾶγμα ἀπόρως εἶχε πατρὶ, iv. Iph. Aul. 55. πειθὼ εἶχον τήνδε, ibid. 104. ὡς ἄνολβον εἶχες ὄμμα, σύγχυσίν τε, ibid. 354. μνήμην εἶχον Ἀγαμέμνονος, ibid. 1103. εἰ τὸν Ὀρφέως εἶχον λόγον, ibid. 1211. ὅσον εἶχες (*quantum poteras*), ibid. 1452. εἶχον ἡδονὴν, v. Iph. Taur. 955. κοντοῖς πρῷραν εἶχον, ibid. 1351. ἃ Τροίας ἀρχαγοὺς εἶχον τιμὰς, v. Troad. 199. περιβολὰς εἶχον χθονὸς, ibid. 391. σιγώμενον τὸ κῆδος εἶχ' ἂν ἐν δόμοις, ibid. 401. τὰς πρὶν φρένας οὐκ εἶχες ὑγιεῖς, vi. Bacch. 936. σῖγα νάπη φύλλ' εἶχε, ibid. 1074. ἐν μυχοῖς πέτρας πτήξαντες εἶχον, vi. Cycl 407. πλανήτην εἴχετ' ἄθλιον βίον, vi. Heracl 878. εἰ μὴ 'ν ξένῃ γαίᾳ πόδ' εἶχον, vi. Helen. 76. σκοπεῖτε, μὴ δόκησιν εἴχετ' ἐκ θεῶν, ibid. 119. νεφέλης ἄρ' ἄλλως εἴχομεν πόνους πέρι; ibid. 706. σοὶ ταὐτὸν ἥβης εἶχ' ἂν μέτρον, vii. Ion. 357. σιγῇ εἶχον αὐτὰ, ibid. 1340. εἶχον οἰκέτην βίον, ibid. 1372. εἰ Ζεὺς δικαίας εἶχεν εἰς ἡμᾶς φρένας, vii. Herc. Fur. 211. φθέγμα ὅσιον εἴχομεν, ibid. 922. ἐπειδὴ θαλερὸς εἶχ' ἥβης χρόνος, vii. Electr. 20. εἰς ἄνδρα σκῆψιν εἶχ' ὀλωλότα, ibid. 29. δυσγνωσίαν εἶχον προσώπου, ibid. 768. εἶθ' εἶ-

χεις βελτίους φρένας, ibid. 1061. κάλλος εἶχεν ἔξοχον, vii. Dan. 26. εἰ νοῦν εἶχ' ἐμ' ὁ σπείρας πατὴρ, vii. Bell. Fr. xvii. 1. ἀνδρῶν ἂν εἴχομεν τυραννίδα, vii. Dan. Fr. viii. 4. c) Particip. ἔχων. οὐ πέπλον, οὐδὲ κόσμον ἐν χεροῖν ἔχων; i. Hec. 576. ὦ πλεῖστ' ἔχων κάλλιστά τε, ibid. 618. ὃν ἦλθεν ἐκ Τροίας ἔχων; ibid. 980. τίν' αἰτίαν ἔχων; ibid. 1185. θεοῖς κοινῆς τραπέζης ἀξίωμ' ἔχων ἴσον, i. Orest. 9. χάριτας ἔχων πατρὸς, ibid. 238. κακὸν ἔχων ἥκει μέγα, ibid. 242. αἷμ' ἔχων, ibid. 507. ἀνδρῶν ξυμμάχων κενὸν δόρυ ἔχων, ibid. 682. φίλα ἔχων κηδεύματα, ibid. 786. ὦ ποθεινὸν ἥδιστόν τ' ἔχων — ὄνομα, ibid. 1044. σπουδὴν ἔχων, ibid. 1055. ii. Med. 557. iii. Alcest. 794. et 1033. iv. Androm. 1038. et vi. Heracl. 119. et σπουδὴν ἔχοντες, v. Iph. Taur. 1435. ἐπὶ σκήπτροις ἔχων τὴν ἐλπίδα, i. Orest. 1057. λῆμ' ἔχων τεθηγμένον, ibid. 1642. χρόνια λέκτρα τἄμ' ἔχων ἐν δώμασιν, ii. Phœn. 14. ξιφήρη χεῖρ' ἔχων, ibid. 374. δι' ὅσσων νᾶμ' ἔχων δακρυῤῥοοῦν, ibid. 381. δωμάτων ἔχων ἴσον, ibid. 557. πόλλ' ἔχων ἐν δώμασι, ibid. 562. τὸν νοῦν πρὸς αὐτὸν οὐκ ἔχων, ibid. 1433. πομπίμαν ἔχων ἐμὲ, ibid. 1727. ὥστ' ὄνειρον ἰσχὺν ἔχων, ibid. 1736. νοῦν ἔχων, iii. Hipp. 104. et iv. Iph. Aul. 1139. Ὀρφεᾶ ἄνακτ' ἔχων, iii. Hipp. 957. παρθένον ψυχὴν ἔχων, ibid. 1010. τλήμονας φυγὰς ἔχων, ibid. 1172. et vii. Electr. 233. τρεῖς ἀρὰς σαφεῖς ἔχων, iii. Hipp. 1311. ἔχων χέρ' ἐπὶ κοντῷ, iii. Alcest. 262. ὅτου τις τυγχάνει χρείαν ἔχων, iv. Androm. 368. γυναῖκα μωραίνουσαν ἐν δόμοις ἔχων, ibid. 672. κοινὰν τὰν εὔκλειαν ἔχοντα, ibid. 793. φυλακὰς ἔχων, ibid. 953. οὐκ ἔχων πέρας κακῶν, ibid. 1205. κοινὸν φόρτον παῖσδ' ἔχων, iv. Suppl. 20. τίνος χρείαν ἔχων; ibid. 126. τέχνην ἀεὶ τήνδ' ἔχων, ibid. 391. ἔχων ἴσον, ibid. 418. δίκαι' ἔχων, ibid. 447. χρηστόν τι βούλευμ' εἰς μέσον φέρειν ἔχων, ibid. 449. πόλλ' ἔχων λέγειν φίλα, ibid. 644. ἄκραντον οὐδὲν ἔχων, ibid. 880. διπλοῦν πένθος δαιμόνων ἔχων, ibid. 1045. δρόμον ἔχοντα, iv. Iph. Aul. 212. θύρας ἔχων ἀκλείστους, ibid. 340. ἐκπονοῦσ' ἔχοντες, ibid. 367. ξύνεσιν ἔχων, ibid. 375. αἱματηρὸν ὄμμ' ἔχων; ibid. 381. πόθον ἔχων θυγατρὸς, ibid. 431. τὸ θέλειν οὐκ ἔχων, ibid 657. τούσδ' αὐτὸς ἔχων σοι φράζειν μύθους, ibid. 1619. ἐρωτᾷς οὐ λέγειν ἔχοντά με, v. Iph. Taur. 660. χεροῖν μίασμ' ἔχων, ibid. 1048. ἔχων κέλαδον λύρας, ibid. 1129. μέσον γᾶς ἔχων μέλαθρον, ibid. 1259. τιν' ἔχων νυκτηγορίαν, v. Rhes. 19. σύμβολον ἔχων σαφὲς, ibid. 220. τετράπουν μῖμον ἔχων ἐπὶ γαίας, ibid. 253. Θρηκίαν ἔχων στολὴν, ibid. 309. πτωχικὴν ἔχων στολὴν, ibid. 499. ὕπαφρον ὄμμ' ἔχων, ibid. 707. ψαφαρόχρουν κάρα πολυπινές τ' ἔχων, ibid. 712. μὴ γένους κοινωνίαν ἔχοντι, ibid. 902. ἐπὶ γῆς ἔχων ἕδραν, v. Troad. 877. χάριν μονῆς ἔχων, ibid. 1119. ἐχρῆσω οὐδὲν ἐν δόμοις ἔχων, ibid. 1162. πόνους ἔχων, ibid. 1188. νεβρίδος ἔχων ἱερὸν ἐνδυτὸν, vi. Bacch. 137. ὅσσοις χάριτας Ἀφροδίτης ἔχων, ibid. 232. νοῦν οὐκ ἔχων, ibid. 267. σκευὴν Βάκχης ἔχων, ibid. 903. κρεῖσσον ὕψος ἔχων, ibid. 1090. ἀγέραστον ἔχων ὄνομα, ibid. 1367. ἐν ἀσκῷ οἶκυς ἔχων; vi. Cycl. 522. εἰς τὸ κέρδος λῆμ' ἔχων ἀνειμένον, vi. Heracl. 3. τὰ κείνου τέκν' ἔχων ὑπὸ πτεροῖς, ibid. 10. δίκαια δρᾶν τε καὶ λέγειν ἔχων, ibid. 139. πολεμίυς λόγυς ἔχων, ibid. 655. ἐμοὶ πρόχειρ' ἔχων τεύχη, ibid. 726. λύπας ἅλις ἔχων, vi. Helen. 588. θαυμάστ', ἔλασσον τοὔνομ', ἢ τὸ πρᾶγμ', ἔχων, ibid. 600. πολλοὺς ἐν μέσῳ λόγους ἔχων, ibid. 629. βέβαιον οὐδὲν τῆς ἀεὶ τύχης ἔχων, ibid. 714. τοὔνομ' οὐκ ἔχων ἐλεύθερον, ibid. 729. ἐπεὶ ἀθλίως ἔχονθ' ὁρῶ, ibid. 1283. νεκρῶν οὐδενὸς μνήμην ἔχων, ibid. 1582. τοῦτ' ἔχων τοὔνειδος, vii. Ion. 595. εὐπαιδίαν ἔχοντα, ibid. 681. πρέσβυν ὡς ἔχονθ' ἕλοι, ibid. 1214. ἐν χεροῖν ἔχοντι σπονδὰς, ibid. 1187. ἔχων τυραννίδα, vii. Herc. Fur. 65. ἔχων τέκνα, ibid. 67. θρόνους ἔχων, ibid. 166. ἔχων ἀλκὴν μόνον, ibid. 193. κράτος ἔχων Πελασγίας, ibid. 462. ἅρματ' οὐκ ἔχων, ἔχειν ἔφασκε, ibid. 942. ὦ τὸν ἐλαιοφόρον ὄχθον ἔχων, ibid. 1169. φίλτρον τι τοῦτ' ἔχων, ibid. 1400. ἀξίωμ' ἔχων ἀνὴρ, vii. Electr. 40. θεοὺς ἔχων ἀνὰ στόμα, ibid. 80. ἅγνευμ' ἔχων τί θεῖον; ibid. 256. βασιλικοὺς ἔχων δόμους, ibid. 947. σαφῶς πείθειν οὐκ ἔχων, vii. Dan. 29. ἀρετὴν ἔχων, vii. Antig. Fr. xii. 2. εὐκλεᾶ ἔχων φάτιν, vii. Archel. Fr. xi. 2. χρείαν ἔχων, ejusd. Fr. xviii. 1. πλείω μισθὸν μείζονος τόλμης ἔχων, vii. Bell. Fr. ix. 4. γαῦρον σπέρμα γενναῖόν τ' ἔχων, ejusd. Fr. xvi. 11. κακῶς ἔχων, ibid. 17. γνώμην ἔχοντα, vii. Chrys. Fr. i. 2. πάλλευκα ἔχων εἵματα, vii. Cretens. Fr. ii. 17. τὸ νήπιον ἄπληστον ἔχων, vii. Hypsip. Fr. v. 5. κρᾶσιν ὑγρὰν οὐκ ἔχων, vii. Phaëth. Fr. vii. 2. ἔχων δρόμον, ejusd. Fr. viii. 1. πεπραμένον τὸ σῶμα τῆς φερνῆς ἔχων, vii. ejusd. Fr. xv. 2. ὁ πλεῖστον ἐν ναοῖς ἔχων χρυσὸν, vii. Phil. Fr. vii. 2. πέλεκυν ἐν χεροῖν ἔχων, vii. Teleph. Fr. xvi. 1. δίκαια ἀντειπεῖν ἔχων, ibid. 3. σμικρὰ καὶ καθ' ἡμέραν ἔχων, ejusd. Fr. xxii. 2. κακὸς ὁ μὴ ἔχων, οἱ δ' ἔχοντες ὄλβιοι, vii. Fr. fals. cit. v. 8. γῆν ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις, vii. Fr. inc. i. 2. θάνατον ἐκποδὼν ἔχων, eorund. lxxxi. 4. ἄλυπον τέρψιν τιν' ἔχων, eorund. clxv. 5. οὐκ ἔχων ἀπαλλαγὰς, eorund. ccii. ἄδολον γνησίαν τ' ἔχων φρένα, vii. Fr. inc.

B. xxviii. 7. κόμην ἔχων κεκαρμένην, vii. Epist. iii. lin. 14. οὐχ ὁμοίως ἀεὶ τὴν γνώμην ἔχοντα, vii. Epist. v. lin. 105. πολιὰν ἔχοντι χαίταν, iii. Alcest. 484. χρόνι' ἔχοντ' εὐνήματα, vii. Ion. 307. ναῦς ἔχοντες, i. Hec. 35. τὰ τῶν θεῶν ἔχοντες, ii. Phœn. 566. κάρτ' ἔχοντας εὖ φρενῶν, iii. Hipp. 464. πρὸς τῶν ἐχόντων (de divitibus) τὸν νόμον τίθης, iii. Alcest. 57. φθέγμ' ἔχοντες, iv. Androm. 916. τοὺς νοῦν ἔχοντας, ibid. 936. οἱ οὐκ ἔχοντες, (i. e. *pauperes*), iv. Suppl. 251. quibus opponuntur οἱ ἔχοντες, ver. 253. ἁπάντων τέρμ' ἔχοντες, ibid. 627. οἱ ἔχοντες εὐνίδας, iv. Iph. Aul. 807. ξύγχυσιν ἔχοντες, καὶ ταραγμὸν ὀμμάτων, ibid. 1128. κάθαιμ' ἔχοντες τραύματα, v. Iph. Taur. 1375. πανοὺς ἔχοντας, v. Rhes. 984. ὦ μείζον' ὄγκον δορὸς ἔχοντες, ἢ φρενῶν, v. Troad. 1148. ἄντρ' ἔχοντες, οὐ στέγας δόμων, vi. Cycl. 118. ἐκ μὴ 'χόντων βίον, vi. Helen. 432. φθιμένων ἔνδυμ' ἔχοντας, vii. Herc. Fur. 441. ἐφεστίους εὐνὰς ἔχοντες, vii. Electr. 217. τιμὰς σωτῆρας ἔχοντες, ibid. 993. τὸ δοῦλον οὐ λόγῳ ἔχοντες, vii. Alex. Fr. vii. 2. ἐν χεροῖν δίσκους ἔχοντες, vii. Autol. Fr. iii. 20. μὴ 'πὶ τοῖς ἐμοῖς λόγοις γνώμην ἔχοντες, vii. Bell. Fr. xxv. 5. τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι, vii. Cress. Fr. v. 2. ἐν τοῖς ἔχουσιν ἥβητης πέφυκε, vii. Dan. Fr. v. 5. δέλεαρ ἔχοντες, vii. Erechth. Fr. i. 18. παράδειγμ' ἔχοντας, vii. Glauc. Fr. ii. 3. οἷον τοῖς ἔχουσιν εἶ κακὸν, vii. Phœnic. Fr. viii. οἱ τὰς τέχνας ἔχοντες, vii. Pol. Fr. iii. 1. κοινὸν ἔχοντες αὐτὸ, vii. Temen. Fr. xv. 2. τὰ τῶν ἐχόντων χρήμαθ' ἁρπάζειν φιλεῖ, vii. Thes. Fr. ix. 3. ἔχοντες μυρίων ἄχθος κακῶν, vii. Fr. inc. lxxxi. 8. μάτην πόνους ἔχοντες, eorund. cvi. 2. λευκοὺς λίθους ἔχοντες, eorund. ccxvi. ζῆλον οὐ σμικρὸν γάμων ἔχουσα, i. Hec. 353. οἰκτρὰν βιοτὰν ἔχουσαν, ibid. 456. νῶτ' ἔχουσ' ἐπὶ χθονὶ, ibid. 484. πύρσ' ἔχουσα δέργματα, ibid. 1247. τρυφὰς ἔχουσα Τρωϊκάς; i. Orest. 1112. κάρα ξυρηκὲς καὶ πέπλους μελαγχίμους ἔχουσαν, ii. Phœn. 384. δυσλύτους ἔχουσα τὰς διαλλαγὰς, ibid. 586. πάντ' ἔχουσ' ὁμοῦ κακὰ, ibid. 1710. πολλὰς ἔχουσα θανασίμους αὐτοῖς ὁδοὺς, ii. Med. 377. τὸν ἀμηχανίας ἔχουσα — αἰῶνα, ibid. 645. ἀβουλίαν πολλὴν ἔχουσα, ibid. 879. Σκύλλης ἔχουσαν ἀγριωτέραν φύσιν, ibid. 1340. οὐκ ἔχουσα σωφρονεῖν, iii. Hipp. 1037. Ἥβης ἔχουσα δῶρα, iii. Alcest. 300. πόλλ' ἔχουσαν ἔνδικα, iv. Androm. 186. ὄμμ' ἔχουσ' ἐλεύθερον, iv. Iph. Aul. 994. λεπτῶν ὄμμα διὰ καλυμμάτων ἔχουσα, v. Iph. Taur. 372. πολλή τις προθυμία σε τοῦδ' ἔχουσα τυγχάνει, ibid. 617. ἔχουσ' ἀδελφὸν, ibid. 803. βίον ἔχουσ' εὐδαίμονα, ibid. 916. ἐν σοφοῖς τιμὰς ἔχουσα, v. Rhes. 888. τὸν νοῦν διδάσκαλον ἔχουσα χρηστὸν, v. Troad. 655. πόλλ' ἔχουσα πήματα, ibid. 696. μίκρ' ἔχουσα, ibid. 986. τὸ σῶφρον τῆς ἀναιδείας πλέον ἔχουσαν, ibid. 1021. ὄνομ' ἔχουσα, τἄργα δ' οὔ, ibid. 1223. ὅν ποτ' ἔχουσ' ἐν ὠδίνων λοχίαις ἀνάγκαισι, vi. Bacch. 89. μονάδ' ἔχουσ' ἐρημίαν, ibid. 599. δρακαίνης φύσιν ἔχουσαν ἀγρίαν, ibid. 1347. τὰν εὖ χαρίτων ἔχουσαν πόλιν, vi. Heracl. 380. πάντ' ἔχουσα δυστυχῆ, vi. Helen. 284. ἔχουσ' ἐν οἴκοις τοῖσδε, ibid. 325. ἐν ᾧ τὰ πάντ' ἔχουσα, vii. Ion. 698. πόνους ἔχουσα, vii. Electr. 65. ἀρετὴν ἐχούσης μείζονα, vii. Cresph. Fr. xv. λῆμ' ἔχουσαν εὐγενὲς, vii. Protes. Fr. iii. 4. πονηρὰ τἄργ' ἔχουσα, vii. Fr. inc. liv. 2. ἔχουσαι κερκίδ' Ἠδωνῆς χερὸς, i. Hec. 1135. ἐπίκλημ' ἐχούσαις, ὅ, τι τύχοι, i. Orest. 563. ῥυθμὸν οὐχ ἕνα κακῶν ἐχούσας, iv. Suppl. 106. ἔχουσαι διὰ λόγου κάμψαι κακὰ, ibid. 758. ἔχουσαι χεῖρας ἐν τερπνοῖς πόνοις, vi. Bacch. 1042. ποδῶν ἔχουσαι ξυντόνοις δρομήμασι, ibid. 1080. ἔχουσαι τὸν Λίβυν λωτὸν, vi. Helen. 170. ἀμφὶ κρηπῖδας δόμων φρούρημ' ἔχουσαι, vii. Ion. 513. ὀδυνῶν καρπὸν ἔχουσαι, vii. Electr. 1342. πρᾶγμ', ἔχον πολλοὺς λόγους, iii. Hipp. 988. τί τούτων ἐστὶν εὖ καλῶς ἔχον; iv. Suppl. 557. βάσταγμα αἰσχύνην ἔχον, ibid. 777. μεταβολὰς τοσάσδ' ἔχον, v. Troad. 617. γῆρας, νοῦν οὐκ ἔχον, vi. Bacch. 248. οὐκ ὀρθῶς ἔχον, vi. Heracl. 745. δύο, ταῦτ' ἔχοντε γράμματα, iii. Hipp. 389. εὖ τὰν δόμοις ἔχοντ' ἴδοιμεν, i. Hec. 1274. τἀμφὶ σοῦ ὧδ' ἔχοντ' ἐπίστασο, iv. Androm. 430. ταῦτ' ἀληθῆ καὶ σάφ' ὡς ἔχοντ' ἴδῃ, vii. Dan. 42. d) Aor. 2. ἔσχον. ἐπεὶ Φρυγῶν πόλιν κίνδυνος ἔσχε, i. Hec. 5. τὰς ποντοπόρους ἔσχε σχεδίας, ibid. 110. ἀκόλαστον ἔσχε γλῶσσαν, i. Orest. 10. ῥώμην θεοῦ τιν' ἔσχε, ibid. 1168. τίνι τρόπῳ ἔσχες λέχος; ii. Phœn. 425. ἔσχε μαργῶντ' αὐτὸν, ibid. 1172. πύργων γῆς ἔσχομεν κατασκαφὰς, ibid. 1212. δόξαν ἔσχες, ii. Med. 540. ὃν (sc. ἔρον) ἔσχε ταύρου, iii. Hipp. 338. οὐκ ἂν ποτ' ἔσχον μὴ οὐ τάδ' ἐξειπεῖν πατρὶ, ibid. 654. καὶ μ' οὔθ' ὁ Πλούτωνος κύων, οὔθ' — ἔσχον, iii. Alcest. 372. εἰ — ἔσχον μὴ κτανεῖν, iv. Androm. 684. πλείστας τιμὰς ἔσχεν, iv. Suppl. 884. ὅτ' ἔριν ἔσχεν, iv. Iph. Aul. 184. τἀμὰ ἔσχες λέχη, ibid. 1156. δόξαν ἔσχεν ἄφθιτον, ibid. 1605. πᾶς ἀνὴρ ἔσχεν πόνον, v. Iph. Taur. 310. ἔσχον αἰδῶ, ibid. 950. οὐκ ἂν ἔσχον εὐτυχοῦν δόρυ, v. Rhes. 60. δόλιον ἔσχον ἄταν, v. Troad. 532. ἔσχ' ἔρωτα καλλονῆς, ibid. 970. ἔσχεν ὕβρις ἀνδρὸς, vi. Heracl. 924. πῶς ξένος σ' ὢν ἔσχεν; vii. Ion. 296. ὃς τάσδε Θήβας ἔσχεν, vii. Herc. Fur. 4. ὃς ἔσχε δόξαν εὐψυχίας, ibid. 156. οὐκ ἔσχεν αἰδῶ τὸν γέροντ' ἀτιμάσαι; ibid. 555. ὅς νιν

φόνου μαργῶντος ἔσχε, ibid. 1000. δόλιον ἔσχεν ἀκοίταν, vii. Electr. 166. ἔσχον κάμακας, ibid. 852. ὅτι τὰν τάλαιναν ἔσχεν κακὸν, ibid. 1162. ὅστις τῆς ἱστορίας ἔσχε μάθησιν, vii. Fr. inc. CLIII. 2. σχὲς, iii. Hipp. 1350. et iv. Iph. Aul. 1466. ἄνδρα σχεῖν Θεσσαλῶν, iii. Alcest. 296. πολύχρυσα θέλων λατρεύματα σχεῖν, v. Iph. Taur. 1276. τίν' αἰτίαν σχών; vi. Helen. 468. τὴν σωτηρίαν οἴκοι παρ' αὐτῶν σχόντες, vii. Fr. inc. CXXXVI. 2. e) Fut. ἕξω. τῶν — ἀσπασμάτων χάριν τίν' ἕξει; i. Hec. 818. κρύπτ' ἐν πέπλοισιν ἕξομεν ξίφη, i. Orest. 1124. ἕξομεν κλέος, ibid. 1150. σκυθρωποὺς ὀμμάτων ἕξω κόρας, ibid. 1313. ἕξετ' εὐμενῆ γῆν, ii. Phœn. 952. Δαναΐδων μ' ἕξει μίαν, ibid. 1689. οὐκέτι δυσκέλαδος φάμα γυναῖκας ἕξει, ii. Med. 420. πῶς πόλις, ἢ φίλων σε χώρα ἕξει, ibid. 845. οὐ παῖδας ἕξω προσειπεῖν ζῶντας, ibid. 1347. σῖγα ἕξομεν στόμα. iii. Hipp. 656. σοὶ μυρίαν ἕξω χάριν, iii. Alcest. 560. τοιάνδε κληδόνα ἕξω, ibid. 981. νυμφευμάτων τῶν ἐμῶν μέριμναν ἕξει, iv. Androm. 980. τίν' αἰῶν' εἰς τὸ λοιπὸν ἕξεις; ibid. 1204. ἀτάφους τίς ἕξει, iv. Suppl. 558. χάριν ἀγήρων ἕξομεν, ibid. 1188. τίν' ἐν δόμοις με καρδίαν ἕξειν δοκεῖς; iv. Iph. Aul. 1173. ἀμπνοὰς ἕξειν πόνων, v. Iph. Taur. 92. θανόντα μᾶλλον, ἢ βλέπονθ', ἕξω φίλον, ibid. 719. ὅπως ἕξει καλῶς, ibid. 1052. ἕξω τοὺς μέγ' αὐχοῦντας δορὶ πέρσας, v. Rhes. 449. πολλῶν θανόντων σώμαθ' ἕξουσιν νεκρῶν, v. Troad. 91. μόχθους ἕξω κρείσσους, ibid. 205. πέτρας τὸ λῆμα κἀδάμαντος ἕξομεν, vi. Cycl. 591. εἰσὶν, οἵ σου μέριμναν ἕξουσι, vi. Heracl. 344. conf. ver. 593. μάταν πόνον ἕξει, ibid. 618. πολλὴν ἕξεις μέμψιν, ibid. 974. διπλοῦν κέρδος ἕξετ' ἐξ ἐμοῦ. ibid. 1043. οὐκ ἄχρωστα γόνατ' ἐμῶν ἕξει χερῶν, vi. Helen. 830. οὐδὲν κακίω μ' ἕξεις πόσιν, ibid. 1422. ἔμφυλον ἕξουσι, vii. Ion. 1581. ἕξουσι κλέος, ibid. 1588. αἷμα σύγγονον ἕξει, vii. Herc. Fur. 1068. συμφορὰν ἕξεις τίνα; ibid. 1121. sed vid. not. τί κέρδος ἕξομεν; ibid. 1292. ἕξεις εὐαμερίαν, vii. Electr. 197. γυμνὸν ἕξω σῶμα, ibid. 308. κάλλιστον ἕξεις στέφανον εὐκλείας, vii. Antiop. Fr. IV. 4. ἕξειν τὸν αὐτὸν δαίμονα, vii. Fr. inc. LXVIII. 2. f) Fut. σχήσω. πῶς ἄδακρυν μοῖραν σχήσεις; ii. Med. 858. εἰ μὴ σχήσετε δόρυ, iv. Suppl. 721. ἐγὼ σχήσω νιν, iv. Iph. Aul. 1365. οὐ πολὺν σχήσω χρόνον, v. Iph. Taur. 790. νόστον ἄθλιον πάλιν σχήσουσι, vi. Bacch. 1328. τυφλὴν ὄψιν σχήσειν, vi. Cycl. 691. ὡς ἐμὸν σχήσων λέχος, vi. Helen. 30. 2) Med. ὡς πάνθ' ὁμαρτῇ σῶν ἔχοιτο γουνάτων, i. Hec. 827. ἔχεσθ', ἔχεσθε, i. Orest. 1543. ἐμῆς ἔχου χερὸς, vi. Bacch. 193. βιοτᾶς εὔπαιδος ἐχοίμαν, vii. Ion. 494. ἐλπίδος κεδνῆς ἔχου, vii. Inus Fr. XIX. 2. τοῦ νόμου ἂν εἴχετο, i. Orest. 496. εἰχόμεσθα τῆς ξένης, v. Iph. Taur. 1356. et 1365. πέπλων ἐχομένη σῶν, iv. Iph. Aul. 1460. οὔ σ' ἀπαιτῶ Μενέλεω σχέσθαι χέρας, v. Rhes. 174. ὁποῖα κισσὸς δρυὸς, ὅπως τῆσδ' ἕξομαι, i. Hec. 398. 3) Pass. ἵπποι ἔχονται, v. Rhes. 667. λέκτρων ἔχεσθαι φιλτάτοις ἐν ἕρκεσιν, vi. Bacch. 946. ἐξ ἐμοῦ γ' ἔχει χρόνῳ, vii. Electr. 579. ἔρωτι παιδὸς ἄρσενος σχεθεὶς, vii. Dan. 6.

Ἐχθαίρειν. πικρὰν βάξιν ἐχθαίρω σέθεν, ii. Med. 1371. σὸν ἐχθαίρω κάρα, iii. Hipp. 1057. οὐ γὰρ ἐχθαίρω σε, iii. Alcest. 180. ἀσέβειαν ἀσκοῦντ' ὄργι' ἐχθαίρει θεοῦ, vi. Bacch. 468. χάριν γηράσκουσαν ἐχθαίρω φίλων, vii. Herc. Fur. 1214. σὸν ἐχθαίρων λέχος, ii. Med. 695. ἐχθαίρων ἐμὸν πατέρα, iii. Alcest. 348. τοὺς ἐξαμαρτάνοντας, οὐχὶ τὴν πόλιν, ἤχθαιρε, iv. Suppl. 889. τί παῖδ' ἤχθηρας; — τὸν σον, vii. Herc. Fur. 1077.

Ἔχθειν. τί τούσδ' ἔχθεις; ii. Med. 117. ταῦτά τοί σ' ἔχθει πόσις, iv. Androm. 211. σωφρονοῦντι ἤχθετο, iii. Hipp. 1400.

Ἔχθος. εἰ τοὐμὸν ἔχθος ἐναριθμεῖ, i. Orest. 616. εἰς ἔχθος ἦλθον παισὶ τοῖσιν Οἰδίπου, ii. Phœn. 893. — τοῖς δ' ἔχθος εἶναι, vii. Fr. inc. CLXXXIV. 2.

Ἔχθρα. ὡς δεινον ἔχθρα οἰκείων φίλων, ii. Phœn. 385. δι' ἔχθρας τῷδε μολὼν, ibid. 489. συμβαλὼν ἔχθραν αὐτῇ, ii. Med. 44. cf. vii. Electr. 906. et vii. Dict. Fr. IX. 3. διαλλαχθῆθ' ἅμα τῆς πρόσθεν ἔχθρας, ii. Med. 893. δι' ἔχθρας μῶν τις ἦν ἀφιγμένος; iii. Hipp. 1159. γνώσεται ἔχθραν ἐμὴν, iv. Androm. 998. λύσασαν ἔχθραν τὴν πάρος, v. Troad. 50. ἔχθραν τὴν πρὶν ἐκβαλοῦσα, ibid. 59. οὐ σμικρὰν φίλων ἔχθραν γε θέσθαι, vi. Heracl. 22. σοφῷ ἔχθραν ξυνάπτειν, ibid. 460. ξυνειδότα ἔχθραν πατρῴαν, ibid. 1002. τὸν θεον μεῖζον τίουσα τῆς ἐμῆς ἔχθρας, ibid. 1013. ἔχθραν πατρῴαν ἐκτίνων, vii. Herc. Fur. 978. ἄκαιρος εὖνοι' οὐδὲν ἔχθρας διαφέρει, vii. Hipp. Fr. XVII.

Ἐχθραίνειν. σὸν ἐχθραίνων λέχος, ii. Med. 555.

Ἐχθρόξενος. δόμους ἐχθροξένους, iii. Alcest. 574.

Ἐχθρός. τὸν κατθανόντα ἐχθρὸν, sc. ἡγεῖται, i. Hec. 847. τὸν ἐχθρὸν εἴ τι τιμωρήσομαι, i. Orest. 1101. φίλος, ἐχθρὸς ἐγένετο, ii. Phœn. 1460. οὐδ' ἐχθρὸς ὢν σοι, ibid. 1609. εἴπερ γε πόλεως ἐχθρὸς ἦν, οὐκ ἐχθρὸς ὢν, ibid. 1666. Πελιου ἐχθρός ἐστί μοι δόμος, ii. Med. 732. ὅστις ἐχθρὸς ὢν κυρῇ, iii. Alcest. 975. μείζω Πηλέως ἐχθρὸν, iv. Androm. 705. μέγαν τοῖσδ' ἐχθρὸν, ibid. 722. πρῶτος ἦν ἐκεῖνος ἐχθρὸς, iv. Iph. Aul. 1353. σαθροῖς λόγοισιν ἐχθρὸν

ἄνδρ' ἀμείψομαι, v. Rhes. 635. ἐχθρὸς ὢν στρατηλάταις, ibid. 715. ἐχθροῦ λέοντος βλαστήματα, vi. Heracl. 1006. ἐχθρὸς ἀνὴρ, ibid. 1049. ἐχθρὸν ἐπ' ἄνδρα, vii. Ion. 1043. cf. vii. Herc. Fur. 299. et 733. καλῶς γνῶναι τὸν ἐχθρὸν, vii. Temen. Fr. IX. 2. τὸν ἐχθρὸν δρᾶν κακῶς, vii. Fr. inc. CIII. *a* et *b*. δυοῖν ἐχθροῖν εἰς ἓν ἐλθόντοιν στέγος, vii. Ion. 847. ἐχθροὺς τοὺς πρὶν εὐμενεῖς ποιούμενοι, i. Hec. 837. πρὸς ἐχθρῶν, i. Orest. 439. et 753. χρήζω τοὺς ἐμοὺς ἐχθροὺς θανεῖν, ibid. 1163. ἐχθροῖσιν φανεῖ, ibid. 1267. ἀφικόμην ἐχθροὺς ἐς ἄνδρας, ii. Phœn. 369. ἐχθρῶν ὑπ' αὐτοῖς τείχεσιν καθημένων, ibid. 764. ἐχθροὺς, μὴ φίλους, δράσειέ τι, ii. Med. 94. cf. iv. Iph. Aul. 1389 ἐχθροὶ ἐξιᾶσι πάντα κάλων, ii. Med. 280. τρεῖς τῶν ἐμῶν ἐχθρῶν νεκροὺς θήσω, ibid. 375. θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων, ibid. 384. σκῆψίν τιν' ἐχθροῖς δεικνύναι, ibid. 742. ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν χρήζῃ, ibid. 748. conf. ver. 763. 765. 917. etc. et iii. Hipp. 49. ἐξ ἐπακτοῦ πημονῆς ἐχθρῶν τινος, iii. Hipp. 318. εἰς ἐχθρῶν τινα, ibid. 1313. τρόπους ἐχθροὺς θνητοῖς, iii. Alcest. 62. ἀπ' ἐχθρῶν ἥκετε πύργων, iv. Androm. 515. λείπειν ἐχθροὺς ἐχθρῶν, ibid. 520. ἐχθρῶν ἀνδρῶν μοῖραν. ibid. 999. κατθανεῖν ἐχθρῶν ὕπο, ibid. 1057. ἄνδρας ἐχθροὺς ὠφελεῖς, iv. Suppl. 504. ἁπλοῦς ἐπ' ἐχθροῖς μῦθος, v. Rhes. 84. μαθόντες ἐχθρῶν μηχανὰς, ibid. 129. cf. ver. 141. προσήμενον πύργοισιν ἐχθρῶν, ibid. 388. τοὺς πρὶν ἐχθροὺς Τρῶας εὐφρᾶναι θέλω, v. Troad. 65. θανεῖ πρὸς ἐχθρῶν, ibid. 743. εὐγενὴς ἐχθροῖς φανεὶς, ibid. 1028. ὑπὲρ κορυφᾶς τῶν ἐχθρῶν, vi. Bacch. 868. et 888. τροπαῖα ἐχθρῶν, vi. Heracl. 403. τί τοῦτο σοῖς ἐχθροῖς βλάβος; vii. Ion. 998. ἐχθροῖσιν γέλων διδόντας, vii. Herc. Fur. 285 ἐχθροὺς ἀθροίσας, ibid. 593. ἐχθροῖς ἐμαυτὸν ὑποβαλὼν, ibid. 1376. κρατήσειν ἐχθρῶν, vii. Electr. 195. ὑπ' ἐχθρῶν οἷ' ἐτολμήθη, ibid. 277. ποίαν ὁδὸν τραπώμεθ' εἰς ἐχθροὺς ἐμούς; ibid. 604. τροπαῖ' (i. e. τροπαῖε) ἐχθρῶν ἐμῶν, ibid. 671. οὔ ποτ' ἐχθροῖς τοῖς ἐμοῖς δίκην ὑφέξω, ibid. 697. γέλως ἐχθροῖς γίνεται τὰ τοιάδε, vii. Cress. Fr. VI. 4. ἐχθροῖσιν εἴη πολεμίαν δάμαρτ'-ἔχειν, vii. Fr. inc. B. XVII. ὡς μηδὲ τοὺς ἐχθροὺς ἧσσον ἀχθεσθῆναι τῶν φίλων, vii. Epist. II. lin. 4. vid. etiam vii. Epist. v. lin. 98. et 101. ὡς ἐχθρὰν κτείνοντες, i. Hec. 514. δι' ἐχθρᾶς χθονὸς, ii. Phœn. 278. ἐχθρᾶς ἡμέρας κατάρχεται, ibid. 550. τοῖς οἴκοθεν φίλοις ἐχθρὰ καθέστηκε, ii. Med. 507. ἐχθρὰ γαίας κοιράνοις καθίσταμαι, ibid. 871. ἐχθρὰ μητρυιὰ τέκνοις, iii. Alcest. 320. γόοισι ἐχθρὰ, iv. Suppl. 500. ἐχθρὰν στάσιν, vii. Cresph. Fr. IV. 10. κῆδος ἐχθρὸν, ii. Med. 1338. ἐχθρὸν ἦμαρ, ἐχθρὸν εἰσορῶ φάος, iii. Hipp. 355. ἐχθρὸν ἡγεῖται τόδε, iv. Suppl. 454. τὸ ἐχθρὸν Ἀχαιοῖς, v. Troad. 305. ἐχθρὸν δόρυ, vi. Heracl. 314. et 501. ἐχθρὸν χρῆμα, vii. Dan. Fr. VI. 4. ἐχθρὰ σημήνας, ii. Phœn. 969. ἐχθρὰ πάντα, ii. Med. 16. ἐχθρὰ ποιεῖ, iv Androm. 733. τὰ ἐχθρὰ μισεῖν, vii. Herc. Fur. 585. 2) Comp. ἐχθίων. ἄλλους μᾶλλον ἐχθίους σέθεν, vii. Electr. 222. κἂν ἔτ' ὦσ' ἐχθίονες, v. Troad. 1052. βουλῆς οὐδέν ἐστιν ἔχθιον κακῆς, vii. Fr. inc. IX. 3) Superl. ἔχθιστος. ἔχθιστος ὢν, ii. Phœn. 626. ἔχθιστος γεγὼς, ii. Med. 468. τὸν ἔχθιστον Φρυγῶν. v. Rhes. 581. ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν, iv. Androm. 445. cf. vii. Electr. 832. τίκτειν παῖδας ἐχθίστους, ibid. 657. τοὺς ἐχθίστους ἐμοὶ καὶ σοὶ, v. Troad. 406. ὦ μέγιστον ἐχθίστη γύναι θεοῖς τε, κ. τ. λ. ii. Med. 1320. τῆς ἐχθίστης θεῶν ἡμῖν, iii. Hipp. 1296. ἐχθίστην ὁρῶ γυναικὸς εἰκὼ, vi. Helen. 71. ἐχθίστη νόσος, vii. Œnom. Fr. II. 6. λώβαν ἐχθίσταν, i. Hec. 199. τὰν ἐχθίσταν Θεράπναν, v. Troad. 213. ἔχθιστον κακὸν, vii. Archel. Fr. XXIV. 3. ἐχθίστων ἐργμάτων, i. Orest. 160. τἄχθιστα (i. e. τὰ ἔχθιστα) τοῖσι φιλτάτοις ὠνούμεθα, iv. Iph. Aul. 1170. ἐχθίστων ὕπερ τὰ φίλτατ' ὤλεσε, v. Troad. 372. αἱμάτων ἐχθίστων, vii. Electr. 138.

Ἔχιδνα. νερτέρου ἐχίδνας, ii. Phœn. 1034. ἐχίδνης οὐδὲν ἠπιωτέρα, iii. Alcest. 321. ἐχίδνης καὶ πυρὸς περαιτέρω, iv. Androm. 270. ἐχίδνης περιβόλοις, vii. Ion. 993. σπονδὰς θεᾶς ἐχίδνας σταγόσιν μιγνυμένας, ibid. 1233. οἵαν ἔχιδναν τήνδ' ἔφυσας, ibid. 1261. ἑκατὸν ἐχίδναις ἀσπίδ' ἐκπληρῶν, ii. Phœn. 1151. δειναῖς ἐχίδναις εἰς ἔμ' ἐστομωμένη, v Iph. Taur. 288.

Ἐχινάδες. τὰς Ἐχινάδας λιπὼν νήσους, iv. Iph. Aul. 286.

Ἐχίων, pater Penthei, regis Thebarum. vi. Bacch. 209. 225. 260. 499. 532. 984. 1004. 1108. et 1264.

Ἕψειν. τὰ δ' ἐς λέβητ' ἐφῆκεν ἕψεσθαι μέλη, vi. Cycl. 403.

Ἑωθινός. ἑωθινὴν πρὸς ἀλκὴν, v. Rhes. 767.

Ἑῷος. ἑῷος ἱππότης ἀστὴρ, vii. Fr. inc. CXCVIII. ἑῷοι ἐξαναστάντες λέχους, vii. Electr. 786. ἑῴοις βολαῖς ἀελίου, ii. Phœn. 171.

Ἕως, subst. *Aurora*. ἡ καλλιφεγγὴς Ἕως, iii. Hipp. 457. ἡ φωσφόρος Ἕως, vii. Ion. 1158. Ἕως λευκὸν ὄμμ' ἀνίσχεται, vii. Electr. 102. Ἕω φαεννὰν, vii. Phaëth. Fr. I. 5.

Ἕως, adverb. *usque, donec*. ἕως γῆς ὄρθ' ἔκειθ' ὁρίσματα, i. Hec. 16. ἕως ἐῶσί σ' εὖ φρονεῖν Ἐρινύες, i. Orest. 232. ἕως ὑφῆψε δῶμα, ibid. 614. ἕως ἔσφηλε κἀνεχαίτισεν,

iii. Hipp. 1227. ἕως ἐθέρμην' αὐτὸν φλὸξ οἴνου, iii. Alcest. 774. ἕως ἂν — ἔλθω, ibid. 1040. ἕως ἐς ἁγνὸν ἦλθον Φοίβου πέδον, v. Iph. Taur. 973. ἕως ἐντὸς ἦν λιμένος, ibid. 1392. ἕως ἂν νὺξ ἀμείψηται φάος, v. Rhes. 611. ἕως φῶς ἡλίου τόδ' ἔβλεπεν, vi. Helen. 60.

Z

ΖΑΓΡΕΥΣ. νυκτιπόλου Ζαγρέως, vii. Cret. Fr. II. 12.

Ζάθεος. τρίποδα ζάθεον, vii. Ion. 91. ζάθεοι Κρῆτες, vi. Bacch. 121. ζαθέους ναοὺς, vii. Cret. Fr. II. 5. ζαθέα χθὼν, iii. Hipp. 748. μετὰ τὰν — Θησέως ζαθέαν χώραν, v. Troad. 221. ζαθέαν θεράπναν, ibid. 1062. ζαθέαις παγαῖσι τρέφων, ibid. 230. ῥίπτε ζαθέους κλῆδας, ibid. 260. Φρυγῶν ζάθεοι σελᾶναι, ibid. 1067. ἐν ταῖς ζαθέαις Ἀθάναις, vii. Ion. 183. ζάθεα ἄντρα δράκοντος, ii. Phœn. 239. ὦ ζαθέων πετάλων — νάπος, ibid. 814. μαντείων ἐπίβας ζαθέων, v. Iph. Taur. 1254. ἀπὸ ζαθέων χρηστηρίων, ibid. 1261.

Ζάπλουτος, vii. Bell. Fr. XVI. 6. ζαπλούτους φερνὰς, iv. Androm. 1271.

Ζάχρυσος ζαχρύσου Θρηκίας πέλτης, iii. Alcest. 514. Πρίαμος ὁ ζαχρυσὸς, iv. Androm. 169. ζαχρύσου δι' ἐκπολᾶς, v. Iph. Taur. 1112. τὰν ζάχρυσον πέλταν, v. Rhes. 366. ἐν ζαχρύσοις δώμασιν, ib. 436.

Ζεῖν. λέβητα ζέσας, vi. Cycl. 343. ἀποστήσομαι θυμῷ ζέοντι Θρῃκὶ, i. Hec. 1038.

Ζεύγλη. ταύρων ἐπιστάτην ζεύγλῃσι, ii. Med. 479. πηδάλια ζεύγλαισι παρακαθίετο, vi. Helen. 1535.

Ζεῦγμα. ἀνάγκης ζεύγματα, iv. Iph. Aul. 443.

Ζευγνύναι. ζεύγνυτε τόξα νευραῖς, v. Rhes. 33. ζευγνὺς ἁρμονίᾳ πολύκαρπον ὄχημα, vii. Fr. inc. CLXXVII. 2. ἐπεὶ γάμοις ἔζευξ' (i. e. ἔζευξα) Ἀδράστου παῖδα, ii. Phœn. 1384. cf. vi. Bacch. 460. et vii. Ion. 10. πλείστους — ὄχους ἐζεύξατε, iv. Androm. 1011. ταύτην θνητῶν, ἢ θεῶν, ἔζευξέ τις; iv. Iph. Aul. 698. ταύταν τῷ πάλος ἔζευξεν; v. Troad. 265. πρὸς βίαν ἔζευξ' ἀνάγκῃ, vi. Heracl. 886. γυναῖκα πρὸς νέαν ζεῦξαι νέον, vii. Æol. Fr. XI. 1. sed γυναῖκα πρὸς νέον ζεῦξαι γραίαν, vii. Fr. inc. CLVII. 1. ἵππους ἅρμασι ζεύξας ὕπο, iii. Hipp. 110. ζεύξασ' ἀπ' εἰρεσίαν δρομάδα, ibid. 550. θηρῶν ζυγίους ζεύξασα σατίνας, vi. Helen. 1310. ἑωθινὴν ζεύξειν (sc. τοὺς πώλους) πρὸς ἀλκὴν, v. Rhes. 768. ζεύγνυσθε ἵππους, ii. Phœn. 532. τέθριππα ζεύγνυσθε, iii. Alcest. 440. γενναιοτάταν ἐζεύξω κλισίαις ἄκοιτιν, ibid. 1014. τὸ παρθένειον ἐζεύξω λέχος, v. Troad. 678. ἵνα με λέκτροισιν ἐζεύξω, vii. Ion. 900. ἐφ' οἷς ἐζεύξαθ' ἅρματα, ibid. 1570. ζεύξομαι ἅρματι πώλους, i. Hec. 467. τόνδ' ἐν ὅρκοις ζεύξομαι, iv. Suppl. 1239. οὐκέτι ἐν τοῖσιν αὐτοῖς δεῖ νιν ἐζευχθαι γάμοις, vi. Helen. 1653. πέδαις ἀχαλκεύτοισιν ἔζευκται πόδας, vii. Pirith. Fr. IV. χρυσέαις ἐζευγμέναι πόρπαισιν, vii. Electr. 317. οὔπερ ἐζεύχθην γάμοις, vii. Ion. 949. χρημάτων ζευχθεὶς ὕπο, iv. Suppl. 887. ζευχθεὶς γάμοισιν, vii. Antig. Fr. VIII. 1. ἐν γάμοις ζευχθεῖσαν, vii. Electr. 99. ἐμὸν μή ποτ' ἐζύγη δέμας εἴς τιν' ἀνδρὸς εὐνὰν, iv. Suppl. 832. εἰ μὴ γάμοισιν ἐζύγης, iv. Iph. Aul. 907. σὲ γάμοισι κλύω ζυγέντα, ii. Phœn. 348. ὁρκίοισι ζυγεὶς, ii. Med. 735. θεσφάτοις Φοίβου ζυγεὶς, iv. Suppl. 231. ἡ ζυγεῖσα δευτέρῳ πόσει, vii. Æg. Fr. VIII. 2.

Ζεῦγος. σύγκρατον ζεῦγος, iv. Androm. 495. τρισσὸν ζεῦγος τρισσῶν θεῶν, v. Troad. 917. ζεῦγος οὐ καλὸν νεκρῶν, vii. Herc. Fur. 451. ζεῦγος φίλιον, ibid. 1396. ζεῦγος τριπάρθενον, vii. Erechth. Fr. XV.

Ζεύς. ὦ στεροπὰ Διὸς, i. Hec. 68. πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία, ibid. 345. Ζεὺς Κρονίδας, ibid. 471. ὦ Ζεῦ, ibid. 486. οὐκέτ' ὄντα Διὸς ἐν φάει, ibid. 700. Ζηνὸς ὁμόλεκτρον κάρα, i. Orest. 470. ὦ Ζεῦ, δίκη τε Ζηνὸς, ii. Med. 762. Ζανὸς γένεθλον, iii. Hipp. 62. ὅρκιόν σοι Ζῆνα ὄμνυμι, ibid. 1029. Διός γε μείζονα ζώης χρόνον, iii. Alcest. 729. ὁ Διὸς ἄγγελος, iv. Iph. Aul. 1302. τὸν ἐλευθέριον Ζῆνα, v. Rhes. 355. Ζηνὸς Ἑρκείου, v. Troad. 17. Διὸς κρείσσων γενοῦ, ibid. 941. πρὸς αὐτὸν τὸν Δί' ἀνακεκύφαμεν, vi. Cycl. 212. Ζηνὸς κεραυνὸν οὐ φρίσσω, ibid. 320. οὐδ' οἶδ', ὅ τι Ζεύς ἐστ' ἐμοῦ κρείσσων θεὸς, ibid. 321. Ζηνὸς ὄνομ' ἔχων ἀνὴρ, vi. Helen. 489. ὀλυμπίου Ζηνὸς πέδον, vii. Herc. Fur. 1295. cf. vii. Electr. 782. ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸς, vii. Bell. Fr. IV. τοῦ μεγάλου Ζανὸς, vii. Cret. Fr. II. 3. κἂν ἀμείνονος πατρὸς Ζηνὸς πεφύκῃ, vii. Dict. Fr. X. 4. Ζεὺς ὅστις ἐστὶν, vii. Melan. Fr. I. 1. cf. ejusd. Fr. II. 1. ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων, vii. Fr. inc. B. VII.

Ζέφυρος. ζεφύρου πνοαῖς ἱππεύσαντος ἐν οὐρανῷ, ii. Phœn. 218. πνοαῖσι ζεφύρου, v. Iph. Taur. 435.

Ζῆθος, nom. propr. viri. ἀμφὶ μνῆμα τὸ

ζήθου, ii. Phœn. 145. cf. vii. Herc. Fur. 30. et vii. Antiop. Fr. I. 1.

Ζῆλος. ὁ ἐπὶ μακαρίοις ζῆλος ὢν οἴκοις, i. Orest. 963. ζῆλον οὐ σμικρὸν γάμων ἔχουσα, i. Hec. 352. ζῆλός μοι σέθεν, vii. Cresph. Fr. IV. 3. φέρουσα δόξαν πολλὴν καὶ ζῆλον, vii. Epist. III. lin. 7.

Ζηλοῦν. ὅσοι δημηγόρους ζηλοῦτε τιμὰς, i. Hec. 255. οὐδὲ σὲ ζηλῶ, i. Orest. 514. ζηλῶ σε, ibid. 1690. ii. Med. 59. et iv. Iph. Aul. 16. ζηλῶ φθιμένους, iii. Alcest. 883. ζηλῶ ἀγάμους ἀτέκνους τε βροτῶν, ibid. 903. ζηλῶ — ὃς ἀκίνδυνον βίον ἐξεπέρασε, iv. Iph. Aul. 17. τοὺς ἐν τιμαῖς ἧσσον ζηλῶ, ibid. 19. ζηλῶ σε μᾶλλον, ἢ με, ibid. 677. ζηλῶ σοῦ μὲν Ἑλλάδ', Ἑλλάδος δὲ σὲ, ibid. 1406. τὸν εὐτυχεῖν δοκοῦντα μὴ ζηλοῦν, vi. Heracl. 865. εἰς τοὺς πλουσίους ἀποβλέπειν ζηλοῦντα, iv. Suppl. 189.

Ζήλωμα. ἐξ οἵων καλῶν ἔῤῥεις, καὶ πατρὸς ζηλωμάτων, v. Iph. Taur. 380.

Ζηλωτός. μᾶλλον ἂν ζηλωτὸς ἦν, i. Orest. 241. ζηλωτὸς, ὅστις ηὐτύχησεν εἰς τέκνα, κ. τ. λ. ibid. 535. ζηλωτὸς αἰὼν, ii. Med. 245. ὡς ζηλωτὸς ἦ (sc. ὑμέναιος), vi. Helen. 1434. ἔρως ζηλωτὸς ἀνθρώποισιν, vii. Œdip. Fr. xv. 4. et vii. Fr. inc. B. L. 2. ζηλωτὸς ἐν τῷ πρὶν χρόνῳ, iv. Androm. 5. ζηλωτὸν ἀνθρώποισι, ii. Med. 1031.

Ζημία. πλείστην ζημίαν ὀφλισκάνει, ii. Med. 581. γνώσει ζημίας ἀποστροφὴν, ibid. 1220. πολλοῖσι κέρδη πονηρὰ ζημίαν ἠμείψατο, vi. Cycl. 312. σὺ οὐχ ὑφέξεις ζημίαν, vii. Ion. 1307. πέμπειν ἑκάστῳ ζημίαν, vii. Melan. Fr. III. 7. ζημίαν οὐκ ἔχει, vii. Fr. inc. CXXXII. 5.

Ζημιοῦν. ὅστις κακὸς πεφύκῃ, ζημιοῦσιν οἱ θεοὶ, vii. Ion. 444. φυγῇ ζημιοῦντας, i. Orest. 891. cf. iii. Hipp. 1046. ἐζημίωσε πατέρα ἐμὸν, i. Orest. 571. ζημιουμένη φυγῇ, ii. Med. 455. ἐζημιοῦτο, εἴ τις ἐξαμαρτάνοι, vii. Sisyph. Fr. I. 8.

Ζῆν. τί με δεῖ ζῆν, i. Hec. 349. cf. vii. Herc. Fur. 1292. τὸ ζῆν μὴ καλῶς, μέγας πόνος, i. Hec. 378. εἰ ζῇ γε, ibid. 429. cf. ver. seq. et 974. νόμῳ ζῶμεν, ibid. 789. σὺν σοὶ καὶ θανεῖν αἱρήσομαι καὶ ζῆν, i. Orest. 302. οὐ ζῶ κακοῖς, ibid. 380. οἵτινες ζῆν οὐκ ἐῶσ' ἡμᾶς ἔτι, ibid. 432. μὴ ζῴην ἔτι, ibid. 1146. et iv. Suppl. 464. ζῆν νιν ἄφθιτον χρεὼν, i. Orest. 1652. ζῆν ἐπ' ἴσοισι, ii. Med. 122. τί μοι ζῆν ἔτι κέρδος; ibid. 145. cf. ver. 794. ὡς ἀκίνδυνον βίον ζῶμεν, ibid. 251. ὅ, τι τοῦ ζῆν φίλτερον ἄλλο, iii. Hipp. 191. ἐν σοὶ ἐσμὲν καὶ ζῆν, καὶ μὴ, iii. Alcest. 289. τὸ ζῆν σμικρὸν, ἀλλ' ὅμως γλυκὺ, ibid. 709. ζῇς παρελθὼν τὴν πεπρωμένην τύχην, ibid. 711. ψυχῇ μιᾷ ζῆν, οὐ δυοῖν, ὀφείλομεν, ibid. 728. τί μοι ζῆν κύδιον; ibid. 981. τί δῆτ' ἐμοὶ ζῆν ἡδύ; iv. Androm. 397. κακῶς ζῆν κρεῖσσον, ἢ θανεῖν καλῶς, iv. Iph. Aul. 1252. ἕρπε καὶ ζῇ, v. Iph. Taur. 700. ζῆν θέλοιμ' ἂν, ibid. 1010. τοῦ ζῆν λυπρῶς κρεῖσσόν ἐστι κατθανεῖν, v. Troad. 639. οὐκ οἶσθ', ὅ τι ζῇς, vi. Bacch. 498. τῷ ζῶσι; vi. Cycl. 121. πάρος τοῦ ζῆν, vi. Heracl. 202. χρῆν τόνδε μὴ ζῆν, ibid. 969. τί δῆτ' ἔτι ζῶ; vi. Helen. 56. et 292. ὁ νοῦς τῶν κατθανόντων ζῇ μὲν οὐ, γνώμην δ' ἔχει ἀθάνατον, ibid. 1014. οὐκ ἂν δύναιτο ζῆν ὁ κατθανὼν, ibid. 1286. εἴη γ' ἐμοὶ ζῆν μέτρια, vii. Ion. 634. ἔα ἐμαυτῷ ζῆν, ibid. 648. ζῆν καλῶς, ibid. 857. ζῴην μετ' ἀμουσίας, vii. Herc. Fur. 676. ζῶ σοι ταπεινὸς, ibid. 1406. ἀεὶ τὸ μὲν ζῇ, τὸ δὲ μεθίσταται κακὸν, vii. Æol. Fr. XVI. 1. τὸ ζῆν ἀφέντες, vii. Androm. Fr. XXIII. 1. ὅταν ζῇ τις, εὐτυχεῖν χρεὼν, ibid. 2. ζῆν ἡδέως ἀπράγμονα, vii. Antiop. Fr. XIII. 2. οὐ ζῶμεν ὡς ἥδιστα; ejusd. Fr. XXV. 5. οἳ ζῆν οὔτε μανθάνουσιν εὖ, vii. Autol. Fr. III. 3. ζῆν τε καὶ φθίνειν ποιεῖ, vii. Dan. Fr. I. 5. ζῶσιν σὺν κακοῖσιν, ibid. 8. αἵτινες πρὸ τοῦ καλοῦ ζῆν παῖδας εἵλοντο, vii. Erechth. Fr. I. 36. τοὺς καλῶς τεθνηκότας ζῆν φημὶ μᾶλλον τοῦ βλέποντος μὴ καλῶς, ejusd. Fr. XI. 2. ὅθεν βρότειον ζῇ τε καὶ θάλλει γένος, vii. Œdip. Fr. XVII. 13. ὅσοι χωρὶς ζῶσι, vii. Palam. Fr. III. 4. δι' ἐλπίδος ζῇ (*vive*), vii. Phyrx. Fr. III. τίς οἶδεν, εἰ ζῆν τοῦθ', ὃ κέκληται θανεῖν, τὸ ζῆν δὲ θνήσκειν ἐστὶ, ejusd. Fr. XV. 1. 2. cf. vii. Pol. Fr. II. 1. 2. οὐκοῦν τὸ μὴ ζῆν κρεῖττόν ἐστ', ἢ ζῆν κακῶς, vii. Pirith. Fr. VIII. ζῶσιν αἰσχύνης ἄτερ, vii. Scyr. Fr. II. 5. ἀρετὴ, κἂν θάνῃ τις, ζῇ, vii. Temen. Fr. I. 2. θεοῦ βίον ζῆν, vii. Fr. inc. LXX. 2. τὸ ζῆν ἴσμεν, eorund. LXXXI. 10. τοῦ ζῆν ἣν ὁρῶ κρεῖσσον τὸ μὴ ζῆν, eorund. LXXXII. 1. 2. δούλοισι ζῶμεν, eorund. CCIII. ὅτ' ἔζη Πρίαμος, i. Hec. 1192. cf. vi. Helen. 4. κἀγώ τ' ἂν ἔζων, χ' ἥδε, τὸν λοιπὸν χρόνον, iii. Alcest. 667. ζῶντι καθ' ἡμέραν, i. Hec. 317. θανὼν ἂν εἴη μᾶλλον εὐτυχέστερος, ἢ ζῶν, ibid. 378. et vii. Fr. inc. LXXXIII. 2. γνόντες ζῶντα Πριαμιδῶν τινα, ibid. 1122. ζῶντ' ἦλθες Ἀργείοις ἄγων; ibid. 1195. ἢ ζῶν μακάριον κτήσει λέχος, i. Orest. 1207. ἰδοὺ τὸν αἰσχρῶς ζῶντα, iii. Alcest. 976. ζῶντος γέροντος, iv. Androm. 23. ζῶντ' ἀναρπάσαντες εἰς μυχοὺς χθονὸς, iv. Suppl. 936. τίν' Ἀχαιῶν ζῶντ' ἀποινᾶσθαι θέλεις; v. Rhes. 177. κατά με γᾶς ζῶντα πόρευσον, ibid. 828. ζῶν εἶσ' ἐς ᾅδου, v. Troad. 444. ὃς καὶ παρ' Ἅιδην ζῶντά νιν κατήγαγες, vi. Heracl. 949. ὅντιν' ἄν γε ζῶνθ' ἕλωσιν ἐν μάχῃ, ibid. 966. μὴ 'πὶ δουλείας ποτὲ ζῶν ἑκὼν ἔλθῃς, vii. Archel. Fr. IV. 2. πέμψεις ἐς ᾅδου ζῶντα, vii. Eurysth. Fr. III. 1. ἔστι καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος, vii. Fr. fals. cit. IV. 2.

τοῖς ζῶσιν εἴη παισὶ μὴ σπάνις βίου, i. Hec. 12. οὐ παῖδας ὄψει ζῶντας, ibid. 1029. cf. ii. Med. 800. πολὺν ζῶντες χρόνον, ii. Med. 897. ἐκεῖ μεθ' ἡμῶν ζῶντες, ibid. 1054. ὡς ζώντων θεῶν, iv. Suppl. 232. οὔτ' ἐν ζῶσιν ἀριθμουμένη, ibid. 979. αὐτῷ ζῶντας λέγουσα, v. Iph. Taur. 641. τοὺς ζῶντας εὖ δρᾷν, vii. Meleagr. Fr. xv. 1. ἔστιν οὐχ ὁρώμενον τοῖς ζῶσιν ἡμῖν — δαιμόνιον, vii. Fr. inc. B. xii. 3. ζῶσαν λέλακας, i. Hec. 672. θανοῦσα. ἢ ζῶσ', ἐνθάδ' ἐκπλήσω βίον; ibid. 1252. οὐκ ἀνέξομαι ζῶσα, iii. Hipp. 355. καὶ ζῶσαν εἰπεῖν καὶ θανοῦσαν ἔστι σοι, iii. Alcest. 142. ἐπιστέλλει τάδε ζῶσ' Ἰφιγένεια, τοῖς ἐκεῖ δ' οὐ ζῶσ' ἔτι, v. Iph. Taur. 772. δίου πυρὸς ἔτι ζῶσαν φλόγα, vi. Bacch. 8. μηδέ με ζῶσαν λέγε, vii. Electr. 687. ζῶν ἐν θεοῖσι σὸν μένειν φράζει τέκος, iv. Iph. Aul. 1613. τοῖσι μέλλουσιν τέκνοις τὰ ζῶντ' ὀνῆσαι, ii. Med. 567. πῶς τὰ ζῶντα τοῖς θανοῦσιν ἀποδοίη ποτέ; vi. Helen. 912. etc.

Ζητεῖν. ὃ πάντες, κοὐκ ἐγὼ ζητῶ μόνος, i. Orest. 672. ὁ πλοῦτος, ὃν ζητεῖς ἔχειν, ii. Phœn. 575. μὴ τὴν τεκοῦσαν τῇ φιλανδρίᾳ ζήτει παρελθεῖν, iv. Androm. 229. ἡ φρόνησις τοῦ θεοῦ μεῖζον σθένειν ζητεῖ, iv. Suppl. 228. ζητεῖς οὐδὲν κέρδος, v. Iph. Taur. 507. ἣν — ἐξ ὄρους Βάκχας ἄγειν ζητῇ, vi. Bacch 52. εἰσάγγελλε, Τειρεσίας ὅτι ζητεῖ νιν, ibid. 170. ζητοῦσ', ὅποι γῆς πύργον οἰκιούμεθα, vi. Heracl. 46. μήτε σὺ ζήτει μαθεῖν, vi. Helen. 156. ἣν — ζητῶ τις εἶναι, vii. Ion. 598. ζητοῦσιν αὐτὴν, ὡς θάνῃ, ibid. 1112. cf. ver. 1225. ὅθεν σὴν μητέρα ζητεῖν σε χρὴ, ibid. 1363. ζητοῦσι τὸν τεκόντα, vii. Herc. Fur. 76. τίν' εἰς χρόνον ζητεῖτε μηκῦναι βίον; ibid 142. ἤν τι μὴ ζητῇ κακὸν, vii. Electr. 1075. τῷ θεᾶτει τὰς συμφορὰς ζητοῦσ' ἀμαυροῦν, vii. Inus Fr. iii. 2. αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ ζητοῦσιν, vii. Rhadam. Fr. ii. 8. ζητῶμεν, vii. Fr. inc. xxviii. 2. ὅταν — τις ζητεῖ τι κρεῖττον, ὧν ἔχει, ζητεῖ κακὰ, vii. Fr. inc. B. xx. 2. δεῦρό γ' ὡς σὲ κρυφίος ἐζήτει μολεῖν, i. Hec. 979. ἐζήτουν σε, vi. Cycl. 17. τἀμήχανα ζητῶν, iii. Alcest. 204. ζητῶν τύραννον ἐνθάδε, iv. Suppl. 414. εἰς ἄκρα βῆναι κλιμάκων ἐνήλατα ζητῶν, ibid. 740. ζητῶν ἐμὴν παῖδα, ibid. 1048. τοῖς τρόποις ζητῶν πρίασθαι τὸ φιλότιμον ἐκ μέσου, iv. Iph. Aul. 342. ζητοῦντά νιν, ibid. 803. ἐν ὄρφνῃ — ζητῶν, v. Rhes. 584. βίᾳ νιν ἀπ' ἐσχάρας ἄγειν ζητῶν, vi. Heracl. 129. τοῖς ἐκεῖ ζητῶν φίλοις τὰ πρόσφορα, vi. Helen. 427. ζητοῦντά γ' ὀρθῶς ἀπολαβεῖν δάμαρτ' ἐμὴν, ibid. 954. πανταχῇ ἄστεος ζητῶν νιν, vii. Ion. 1108. εἴ μέ τις γνοίη ζητοῦντ' ἀδελφὴν, vii Electr. 98. ἡδέως ζητῶν βιοῦν, vii. Archel. Fr. xxx. 1. ζητῶν τὰ πλείονα, vii. Inus Fr. xv. 4. τῆς νόσου σοι ζητοῦσά γ' εὗρον φάρμακα, iii. Hipp. 696. βωμοὺς μηλοθύτας ζητοῦσα, v. Iph. Taur. 1118. ἐζήτησε τόκοισιν εὐμάρειαν, vii. Antiop. Fr. i. 1.

Ζήτημα. οὐ ῥᾴδιον ζήτημα, vi. Bacch. 1128. σῶμα μυρίοις ζητήμασιν εὑρὼν, ibid. 1207. μητρὸς ζητήματα, vii. Ion. 1351.

Ζήτησις. σεθεν κατὰ ζήτησιν, vi. Cycl. 14.

Ζοὴ, et Dor. ζοά. ταλαίνης ἐξαπαλλάξαι ζόης, i. Hec. 1090. ἐλπίδες οὐκέτι μοι παίδων ζόας, ii. Med. 972. τίς σὰν τάλαινα ἀμαυροῖ ζόαν; iii. Hipp. 818. vid. ζωή.

Ζόφος. γῆς ὑπὸ ζόφον, iii. Hipp. 1414.

Ζυγηφόρος. ἵππους ζυγηφόρους, iii. Hipp. 1178. αὐχένα ζυγηφόρον πώλων, v. Rhes. 299.

Ζύγιος. τοὺς μέσους ζυγίους, iv. Iph. Aul. 221. θηρῶν ζυγίους ζεύξασα, vi. Helen. 1310

Ζυγὸς, vel ζυγόν. αὐχέν' ἐντιθεὶς ζυγῷ, i. Hec. 376. πῶλος ὣς ἀπὸ ζυγοῦ, i. Orest. 45. ἀνάγκης εἰς ζυγὸν καθέσταμεν, ibid. 1324. μὴ βίᾳ φέρων ζυγὸν, ii. Med. 244. ζυγὸς δουλείας, iv. Androm. 301. ῥᾳδίως ἕλκει ζυγὸν, v. Troad. 672. ναυσθλοῦμαι ἐς δοῦλον ζυγὸν, ibid. 680. κλεινὸν ζυγὸν, vi. Helen. 391. ἐς τὸ πρῶτον πόλιος ὁρμηθεὶς ζυγὸν, vii. Ion. 597. τὸ τῆς ἀνάγκης οὐ λέγειν ἴσον ζυγὸν, vii. Didym. Fr. ἐπὶ ζυγοῖς ἀρχῆς, ii. Phœn. 72. ἐς τὸ πρόσθεν στῆτε πωλικῶν ζυγῶν, iv. Iph. Aul. 619. ἐπὶ ζυγοῖς ἵππων, v. Rhes. 762. ἱππικοῖς ὑπὸ ζυγοῖς, vi. Heracl. 854. ζυγῶν πεντήκοντα καὶ ἐρετμῶν μέτρα, vi. Helen. 1531. ἀσείρωτον ζυγοῖς ὄχημα, vii. Ion. 1150. ζυγὰ ἤνυσε δούλια, v. Troad. 602. ἐκλιποῦσαι ποικίλα ζυγὰ, vi. Bacch. 1045. ζύγ' ἄξας, vi. Helen. 1597.

Ζυγοφόρος. ζυγοφόρον πῶλον, vii. Herc. Fur. 120.

Ζωά. vid. Ζωή.

Ζώειν. Διός γε μείζονα ζώης χρόνον, iii. Alcest. 729.

Ζωὴ, et Dor. ζωά. ἕλκεις μακρόπουν ζωὰν, ii. Phœn. 1551. σύγγονον ἁμὸν κατακλαιομένα ζωᾶς, v. Iph. Taur. 150. χάριν ἔχω ζωᾶς, ibid. 847. ἄλεκτρον ζωὰν, v. Troad. 258. ἁπλοῦν ζωᾶς βιοτὰν, vii. Herc. Fur. 664. στυγερᾶς ζωᾶς, vii. Electr. 121.

Ζώνη, et Dor. ζώνα. τοῦτον ἔφερον ζώνης ὕπο, i. Hec. 750. δαίμων τᾶς ματρὸς ζώνας, v. Iph. Taur. 204. ζῶναί σοι χαλῶσι, vi. Bacch. 923.

Ζῶον. πλάσαι πάντα ζῶα, vii. Fr. inc. B. xiv. 2.

Ζωπυρεῖν. ζωπυρεῖς νείκη νέα, vii. Electr. 1121.

Ζωστήρ. ζωστῆρα τὸν πολυκτόνον, vi. Heracl. 218. ζωστῆρος ὀλεθρίους ἄγρας, vii. Herc. Fur. 415.

Η

Ἠ, particula dolorem exprimens, bis repetita. ἢ ἤ, vii. Herc. Fur. 901. reliquæ hujus voculæ significationes, *profecto* et *num*, in Euripide passim sunt obviæ; uti et ἤ, *quam* et *aut*.

Ἥβα. vid. Ἥβη.

Ἡβᾶν. ὅταν ἡβᾷ δῆμος, i. Orest. 688. ἔθ' ἡβᾷ σοι κακὸν, iii. Alcest. 1104. κἀγὼ ἡβῶ, vi. Bacch. 186. λῆμα τὸ σὸν ἡβᾷ, vi. Heracl. 703. εἰ ἐγὼ σθένος ἥβων, vii. Herc. Fur. 434. ἡβῶντ' ἄνδρα, iii. Alcest. 727. τὸν ἡβῶνθ', Ἡρ. οὐ ῥᾴδιον εἴργειν, ibid. 1072. ἡβῶσαν φρένα, iii. Hipp. 973. σαρκὸς περιβολαὶ ἡβῶντα, vii. Herc. Fur. 1261. ἥβησας ἐν τυραννίδι, iii. Alcest. 670. μάχοιντ' ἂν ἡβήσαντες, vi. Heracl. 173. οἷον ἡβήσαντά σε μιμνήμεθ' ἡμεῖς, ibid. 740. πορθήσεθ' ἡβήσαντες Ἰσμηνοῦ πόλιν, iv. Suppl. 1224.

Ἥβη. ὦ μέλεος ἥβης σῆς, i. Orest. 1028. ἥβης τέλος μολόντας, ii. Med. 916. ἥβην εἰσῆλθε, ibid. 1105. ὑφ' ἥβης σπλάγχνον ἔντονον φέρων, iii. Hipp. 117. ἥβης ἐν ἀκμῇ, iii. Alcest. 326. ἥβης ἔχουσα δῶρα, ibid. 300. ἥβης τυχὼν, v. Troad. 1158. ὅτ' ἐν ἥβῃ τοὐμὸν εὐσθένει δέμας, vi. Cycl. 2. γάνυμαι δαιτὸς ἥβης, ibid. 501. μάτην ἥβην ὧδέ γ' ἂν κεκτήμεθα πολλὴν, vi. Heracl. 283. οὐκ ἔστιν, ὅπως ἥβην κτήσει πάλιν αὖθις, ibid. 708. ἐπεὶ ἐς ἥβην ἦλθεν ὡραίαν γάμων, vi. Helen. 12. σοὶ ταὐτὸν ἥβης εἶχ' ἂν μέτρον, vii. Ion. 357. θαλερὸς ἥβης χρόνος, vii. Electr. 20. θήλεια ἥβη, vii. Æol. Fr. XI. 3. λαμπροὶ ἐν ἥβῃ, vii. Autol. Fr. III. 10. b) Form. Dor. ἥβα. ἐν ἥβᾳ νέᾳ, iii. Alcest. 485. σὰν ἐφύτευσεν ἥβαν, v. Rhes. 350. ἀπολείπομαι τᾶς εὐδαίμονος ἥβας, vii. Herc. Fur. 439. τᾶς ἥβας ἀντιλαβεῖν, ibid. 646. δίδυμον ἂν ἥβαν ἔφερον, ibid. 657. c) Plur. νεάνιδες ἧβαι, vii. Ion. 480. 2) Ἥβη, dea juventutis, Herculis uxor, i. Orest. 1704. et vi. Heracl. 851. et 857. et Dor. Ἥβα, vi. Heracl. 915.

Ἡβητής. νέων βραχιόνων ἔδειξεν ἡβητὴν τύπον, vi. Heracl. 858. ἐν τοῖς ἔχουσιν ἡβητῆς πέφυχ' ὅδε, vii. Dan. Fr. v. 5.

Ἡγεῖσθαι. μήτε τοὺς φίλους ἡγεῖσθε, i. Hec. 329. ἡγοῦ μοι, ibid. 505. iv. Androm. 745. et vi. Helen. 864. νόμῳ τοὺς θεοὺς ἡγούμεθα, i. Hec. 788. τὸν ἄνδρα τοῦτον φίλιον ἡγεῖται, ibid. 846. ἡγοῦ πάροιθε, ii. Phœn. 848. ἡγοῦ πρὸς οἶκον, ibid. 967. ἡγοῦ σὺ πρὸς μεταίχμια, ibid. 1294. πᾶν κέρδος ἡγοῦ, ii. Med. 455. τὰ θνητὰ ἡγοῦμαι σκιὰν, ibid. 1221. τὸ ἀπὸν φίλτερον ἡγεῖ, iii. Hipp. 185. ἣν ἐγὼ καὶ μητέρα πατέρα τ' ἂν ἐνδίκως ἂν ἡγοίμην μόνην, iii. Alcest. 663. τὰ θεῖα οὐ θεῖ', οὐδ' ἔχειν ἡγῇ δίκην; iv. Androm. 439. ἡγοῦ σὺ θᾶσσον, ibid. 549. οὐ τῶν πονούντων τοὖργον ἡγοῦνται τόδε, ibid. 693. ἐχθρὸν ἡγεῖται τόδε, iv. Suppl. 454. οὓς ἂν ἡγῆται φρονεῖν, ibid. 455. φαῦλ' ἡγῇ τάδε, iv. Iph. Aul. 734. ἣν ἡγῶνται καλῶς, ibid. 928. οὔτ' ἄρ' ἀσυνέτους τοὺς θεοὺς ἡγοίμεθ' ἂν, ibid. 1189. πρὸς εὐτραφεῖς — ξένους φαύλους μάχεσθαι βουκόλους ἡγούμεθα, v. Iph. Taur. 306. εἰ αἰσχρὸν ἡγεῖ, v. Rhes. 485. ταῦρος ἡμῖν πρόσθεν ἡγεῖσθαι δοκεῖς, vi. Bacch. 908. ἡγείσθω θεοὺς, ibid. 1316. cf. ver. 1287. et vii. Electr. 5 3. τὴν τύχην δαίμον' ἡγεῖσθαι χρεὼν, vi. Cycl. 601. ἡγεῖσθ', ὅπου δεῖ σῶμα κατθανεῖν τόδε, vi. Heracl. 529. ἃ ἄξι' ἡμῶν καὶ δίκαι' ἡγούμεθα, vi. Helen. 958. ἕν τί σ' ἡγοῦμαι σοφὸν, vii. Herc. Fur. 206. σκαιὸν ἡγοῦμαι βροτὸν, ibid. 283. πατέρα ἀντὶ Ζηνὸς ἡγοῦμαι σ' ἐγὼ, ibid. 1256. ἐγώ σ' ἴσον θεοῖσιν ἡγοῦμαι φίλον, vii. Electr. 67. οὐ κύριον τὸν ὄντα μ' ἡγεῖται, ibid. 259. θεοὺς ἡγοῦ τύχης ἀρχηγέτας τῆσδε, ibid. 890. δεινὸν τόδ' ἡγῇ, vii. Aug. Fr. IX. 4. ὅστις ἡγεῖται πόλει κάλλιστα, vii. Autol. Fr. III. 24. τόνδ' ἡγοῦ θεὸν, vii. Fr. inc. I. 3. τἀπιεικῆ πρόσθεν ἡγοῦνται δίκης, eorund. III. 6. ἀνδρὸς ἡγοῦμαι μέρος, eorund. CIII. 6. ὁδὸν ἡγεῖται ταῖς τετραμόρφοις ὥραις, eorund. CLXXVII. 1. φρούρια λαβόντας — ἡγεῖσθαι, vii. Epist. v. lin. 48. μοίρας ἀνάγκης ἡγεῖτο χρεὼν, vii. Electr. 1299. δούλην πολεμίαν θ' ἡγούμενος, i. Hec. 729. conf. v. Troad. 908. κακὴν αὐτὴν ἐνδίκως ἡγούμενος, i. Orest. 498. κοινὰς τὰς τύχας ἡγούμενος, iv. Suppl. 237. βαρβάρων ἡγούμενος, vi. Bacch. 1324. ἡγούμενος λόγχαισιν, ibid. 1349. δούλους τοὺς φίλους ἡγούμενος, vii. Æol. Fr. IV. 4. τί σόφισμα τοῦθ' ἡγούμενοι, i. Hec. 258. δίκαι' ἡγούμενοι, ii. Phœn. 1254. conf. v. Iph. Taur. 588. μυσαρὸν ὡς ἡγουμένη, v. Iph. Taur. 384. τὰ θεῖ' ἡγουμένη, vi. Helen. 918. ἡγησάμην, — οὐκ ἂν εὐτεκνεῖν, vii. Meleagr. Fr. x. 1. αὐτὸ μὴ δύσνοιαν ἡγήσῃ σέθεν, i. Hec. 959. ἐγὼ ἡγήσομαι, i. Orest. 1336. et vi. Bacch. 829. ὁ θεὸς ἀμοχθεὶ κεῖσε νῷν ἡγήσεται, vi. Bacch. 190. ἥπου με τῶν σῶν πρῶτον ἡγήσῃ φίλων; ibid. 927. τί τὴν τυραννίδ' — μέγ' ἥγησαι; ii. Phœn. 560.

Ἡγεμών. ἡγεμὼν ὁδοῦ, i. Hec. 281. et vii. Electr. 669. ἡγεμὼν ποδὸς τυφλοῦ, ii. Phœn. 1632. ἡγεμὼν θρασὺς, iv. Suppl. 518.

'Ηδὲ, i. Hec. 323.

Οἶστρος. μὴ θεαί μ' οἴστρῳ κατάσχωσι, i. Orest. 782. σῆς γυναικὸς οἶστρον, iii. Hipp. 1295. οἶστρος ὁ ποτώμενος Ἀργόθεν, v. Iph. Taur. 395. vid. not. κεραυνοῦ οἶστρος, vii. Herc. Fur. 858. ποῦ οἶστρος ἡμᾶς ἔλαβε; ibid. 1135. μαινόμεν' οἴστρων, iv. Iph. Aul. 547. οἴστροις Ἐρινύων, v. Iph. Taur. 1457. αἵ — οἴστροισι κῶλον ἐξηκόντισαν, vi. Bacch. 654.

Οἰχαλία, nom. loci. iii. Hipp. 547. et vii. Herc. Fur. 471.

Οἴχεσθαι. οἴχομαι, ii. Med. 228. iv. Iph. Aul. 888. v. Troad. 289. etc. οἰχόμεσθα, i. Orest. 299. et 725. ii. Phœn. 990. vi. Heracl. 602. etc. αἰχμάλωτος οἴχομαι, i. Hec. 810. χρυσοῦ ὄνησις οἴχεται, ibid. 1213. τὸ ἐμὸν οἴχεται πλέον βιότου μέρος ἐν στοναχῆσί τε καὶ γόοισι, i. Orest. 196. πόσον χρόνον μητρὸς οἴχονται πνοαί; ibid. 415. πρὸς Ἀργεῖον οἴχεται λεὼν, ibid. 837. οἴχεται τέκνων προπάσα γέννα, ibid. 961. ἄφαντος οἴχεται, ibid. 1574. ὃς ἐπὶ θάνατον οἴχεται, ii. Phœn. 1070. ὃς ἐκ δόμων ἄθαπτος οἴχεται νέκυς, ibid. 1758. καρδία οἴχεται, ii. Med. 1038. ἥτις εἰς Ἅιδου πύλας οἴχει, ibid. 1231. ὀλόμενος οἴχομαι, iii. Hipp. 882. et ὀλ. οἴχεται, vi. Helen. 204. προθανοῦσα φωτὸς οἴχει, iii. Alcest. 486. cf. ver. 532. μ' ἔρημον οἴχεται λιπὼν, iv. Androm. 910. cf. iv. Iph. Aul. 1314. οἴχεται φυγὰς δόμων, iv. Androm. 1043. πῶς οἴχεταί μοι παῖς μόνου παιδὸς μόνος; ibid. 1072. οἴχεταί μοι κῆρυξ πρὸς ἄστυ, iv. Suppl. 36. οἴχεται τὰ Παλλάδος, ibid. 722. λόγων παρακέλευσμα σῶν ἀέρι φερόμενον οἴχεται, ibid. 1166. εἴ τις ἐκ δόμων λαβὼν οἴχοιτο, iv. Iph. Aul. 63. οἴχεσθαι δορὶ, v. Iph. Taur. 520. ἐκ γυναικὸς οἴχεται σφαγεὶς, ibid. 553. ἔξω χθονὸς οἴχεται, ibid. 1316. μὴ — δραπέται οἰχοίατο, ibid. 1342. οἴχεται θανὼν, v. Troad. 397. et οἴχ. θανοῦσα, vi. Helen. 134. et sine θανοῦσα, ibid. 219. πόλις οἴχεται, vi. Heracl. 14. οὔπω μελαμφαὴς οἴχεται δι' ἔρεβος, vi. Helen. 517. ἐς αἰθέρ' οἴχεται, ibid. 1218. γῆς πατρίδος οἴχεται πέδον; vii. Herc. Fur. 619. οἰχόμεσθ' οἰχόμεσθα πτανοὶ, ibid. 1178. ἡ φύσις οἴχεται, vii. Antiop. Fr. xxix. 5. et vii. Fr. inc. xxxv. 5. τρίβωνες ἐκλείποντες οἴχονται κρόκας, vii. Autol. Fr. iii. 12. κρανεῖαι γυμνάσιά τ' οἴχοιτο, vii. Phaëth. Fr. xi. 2. οἴχεται ὁ καιρὸς εἰς ἀνθρώπων εὐεργεσίαν, vii. Epist. iv. lin. 33. οἴχονται αὐτὰ φέροντες, vii. Epist. v. lin. 74. οἰχόμενος φυγὰς, i. Orest. 1494. τοῖς οἰχομένοις (*mortuis*) ὑπὲρ Ἑλλήνων, i. Hec. 137. cf. iv. Suppl. 805. Σπάρταν οἰχομένων, v. Rhes. 362. οἰχομένας (i. e. ἕνης) σοῦ, iii. Alcest. 426. οἰχομένας πόλεως, v. Troad. 598. σῶν στερηθεὶς ᾠχόμην γάμων, iv. Androm. 973. λοῦτρ' ᾤχετ' οἴσουσ' ἐξ ἁλὸς, i. Hec. 768. ὦ κόρος — ᾤχετ' ἐν δόμοισιν, iii. Alcest. 930. ᾠχόμεθα, iv. Androm. 1166.

Οἰώνισμα. οἰωνίσματ' ὀρνίθων μαθὼν, ii. Phœn. 853.

Οἰωνόμαντις, ii. Phœn. 779.

Οἰωνός. οὗτος οἰωνὸς μέγας, i. Orest. 779. οἰωνὸν ἐθέμην καλλίνικα σὰ στέφη, ii. Phœn. 872. cf. vii. Ion. 1191. οἰωνὸν εἰσορῶ κακὸν, iii. Hipp. 877. πονηρὸν εἶπας οἰωνὸν, iv. Iph. Aul. 1347. οἷον οἰωνὸς ὑπὲρ τεκέων βοᾷ, v. Troad. 826. οἰωνῶν ἄπο, iv. Suppl. 224. τὸν ἐν οἰωνοῖς σοφὸν, v. Iph. Taur. 663. πτανοὶ Λίβυες οἰωνοὶ, vi. Helen. 1479. δι' οἰωνῶν, vii. Ion. 380. οἰωνοῖς ἔρρει συλαθεὶς, ibid. 916. ὑπ' οἰωνῶν καλῶν, ibid. 1332. οἰωνῶν γαμφηλαῖς, ibid. 1495. σκῦλον οἰωνοῖσιν, vii. Electr. 897.

Οἰωνοσκοπεῖν. οἷς ἂν οἰωνοσκοπῇ, ii. Phœn. 970. ἵν' οἰωνοσκοπεῖ, vi. Bacch. 343.

Οἰωνοσκόπος, iv. Suppl. 510.

Ὀκέλλειν. δεινὸς κλύδων ὤκειλε ναῦν πρὸς γῆν, v. Iph. Taur. 1380.

Ὀκνεῖν. οὐκ ὀκνεῖν δεῖ, vi. Bacch. 769. Ἀργείοις ὀκνῶ ἱκέτας προδοῦναι, vi. Heracl. 246. cf. ver. 28. et iii. Alcest. 181. ὀκνῶ μόχθων τῶν πρὶν ἐκχέαι χάριν, vii. Phil. Fr. ii. 1. οὐκ ἄρ' ὀκνήσεις; i. Orest. 785. οὐκ ὀκνήσουσιν θανεῖν, ii. Phœn. 1015.

Ὄκνος. ὄκνος τοῖς φίλοις κακὸν μέγα, i. Orest. 785. ἀπίλυσ' ὄκνου, ibid. 1235. εἰς ὄκνον μοι μῦθος φέρει, iv. Suppl. 305. τὰ Θησέως γ' οὐκ ὄκνῳ διεφθάρη, ibid. 707. τὰ μὲν ὄκνῳ νικώμεθα, vii. Aug. Fr. iv. 1.

Ὀκτὼ, Epigr. ii. 1. vii. vol. p. 711.

Ὀλβίζειν. τήν τε θανοῦσαν κἄμ' ὀλβίζων, iii. Alcest. 942. εὔανδρον ὀλβίζων γᾶν, v. Troad. 231. ἐν ἤματι μ' ὤλβισε, ii. Phœn. 1703. μάτην σ' ἐν γάμοισιν ὤλβισαν θεοὶ, iv. Androm. 1207. ἂν — ὤλβισαν, ὤλβισαν τὸ πρόσθε, vi. Helen. 639. ὥς σου τὴν τεκοῦσαν ὤλβισα, vii. Ion. 311. βρέφος — ἔρνεσι κατασκίοισιν ὀλβίσας ἐνώτισε, ii. Phœn. 663. οὐδέ ποτ' ἔτι πάτρια μέλαθρα — ὀλβιεῖς, vi. Helen. 228. οἱ τὰ πρῶτ'

ὠλβισμένοι, iv. Iph. Aul. 51. μέγα ὀλβισθεὶς, v. Troad. 1243.

Ὄλβιος. Πριάμου τοῦ μέγ' ὀλβίου, i. Hec. 491. θεῶν ὄλβιον δόμον, i. Orest. 1691. ὄλβιος θάνοις, ii. Med. 713. χρὴ οὔποτ' εἰπεῖν οὐδέν' ὄλβιον βροτῶν, iv. Androm. 100. σοφὸν, πενίαν εἰσορᾶν τὸν ὄλβιον, iv. Suppl. 187. ὁ ὄλβιός νιν ὑψηλὸν αἴρει, ibid. 564. θνητῶν ὄλβιος εἰς τέλος οὐδεὶς, iv. Iph. Aul. 161. ὄλβιος εἶ, v. Iph. Taur. 694. εἰς τὸν ὄλβιον, vi. Bacch. 415. οὔτινά φημι θεῶν ἄτερ ὄλβιον — γενέσθαι, vi. Heracl. 609. τὸν ὄλβιον πάροιθε, ibid. 863. ἀνδρὸς ὀλβίου, vi. Helen. 430. ὁ μὲν ὄλβιος ἦν, vii. Andromed. Fr. xix. 1. ἐγὼ οὔποτ' αὐτὸν ὄλβιον καλῶ, vii. Antiop. Fr. viii. 3. τί δ' οὐκ ἂν εἴη χρηστὸς ὄλβιος γεγώς; vii. Archel. Fr. xxi. ὄλβιος, ὅστις τῆς ἱστορίας ἔσχε μάθησιν, κ. τ. λ. vii. Fr. inc. cliii. 1. τὸ παλαιὸν ὄλβιοι, ii. Med. 820. ὀλβίων ἀπ' οἴκων, iii. Hipp. 753. οἱ μὲν ὄλβιοι, ἀνωφελεῖς τε, iv. Suppl. 249. ὄλβιοι γενοίμεθ' ἄν, iv. Iph. Aul. 1620. ἀδόκιμ' ὀλβίοις ἔχειν, v. Troad. 499. ὀλβίους τῷ λόγῳ δοκοῦντας εἶναι, vii. Herc. Fur. 587. ἦμεν ὄλβιοι, ibid. 1291. ὀλβίων ἀνδρῶν τέκνα, vii. Electr. 45. φιλοῦσι τῶν ὀλβίων σοφοὺς τίθεσθαι τοὺς λόγους, vii. Dan. Fr. xii. 1. vid. etiam vii. Fr. fals. cit. v. 3. et 8. vii. vol. p. 679. τῇ μέγ' ὀλβίᾳ, i. Orest. 1332. παρθέν' ὀλβία, iii. Hipp. 1438. τᾶς ὀλβίας ἐξ Ἑλλάδος, iv. Iph. Aul. 1381. ἐκ μεγίστης ὀλβίας τυραννίδος, vii. Dict. Fr. xiv. 7. ἐν ὀλβίαις Ἀθάναις, iii. Alcest. 464. ἐκ τῶν Μυκηνῶν, αἵ ποτ' ἦσαν ὄλβιαι, v. Iph. Taur. 510. ἐν ἀγέλαις ὀλβίαις, vi. Helen. 1259. δῶμα ὄλβιον τυραννίδι, iii. Alcest. 297. cf. iv. Suppl. 5. et vi. Helen. 724. ὄλβιον σκῆπτρον, vii. Ion. 580. ἀντὶ τῶν πρὶν ὀλβίων φρονημάτων, iv. Androm. 164. ὀλβιώτατος, i. Hec. 625.

Ὀλβοδότας. τὸν τᾶς εὐδαιμονίας βροτοῖς ὀλβοδόταν, vi. Bacch. 564.

Ὀλβοδότειρα εἰρήνα, vi. Bacch. 413.

Ὄλβος. τὸν πάντα ὄλβον ἦμαρ ἕν μ' ἀφείλετο, i. Hec. 285. ὁ μέγας ὄλβος οὐ μόνιμος ἐν βροτοῖς, i. Orest. 334. cf. ver. 798. et vii. Herc. Fur. 511. ὄλβος, ὅστις — κνίζοι φρένα, ii. Med. 599. τοῖς δ' ὄλβος ἐστὶ, ibid. 738. ὄλβου ἐπιῤῥυέντος, ibid. 1226. ὄλβον δωμάτων ἐκθύομεν, iii. Hipp. 622. cf. ver. 629. τύχαν μετ' ὄλβου, ibid. 1113. πολὺς ὄλβος, iv. Androm. 932. ἀπώλεσ' ὄλβον, iv. Suppl. 740. ἥκιστα ὄλβῳ γαῦρος ἦν, ibid. 872. ὄλβου βάρος, v. Iph. Taur. 417. γνώμα ἄκαιρος ὄλβου, ibid. 421. κοινὰν χάριν ὄλβῳ, ibid. 456. τὸν ὄλβον αὐτοῦ τὸν πάροιθ' ἀναστένω, ibid. 552. ὄλβῳ βρίθειν, v. Troad. 218. βέβακεν ὄλβος, ibid. 584. ἑτέρᾳ ἕτερος ἕτερον ὄλβῳ καὶ δυνάμει παρῆλθεν, vi. Bacch. 894. cf. ver. 897. ἔστιν ἐν ὄλβῳ καὶ τόδ' οὐκ ὀρθῶς ἔχον, vi. Heracl. 745. ἐν χερσὶ σώζων ὄλβον, vii. Ion. 633. μέγαν ἐς ὄλβον, ibid. 704. δόμων σῶν ὄλβος ὡς χειμάζεται, ibid. 966. οὕνεκ' ὄλβου μέγας ἐκομπάσθη, vii. Herc. Fur. 64. Ἀσιήτιδος τυραννίδος ὄλβος, ibid. 644. ἃ καλλίστα ἐν ὄλβῳ, ibid. 647. ἔθραυσεν ὄλβου κελαινὸν ἅρμα, ibid. 776. ὁ ὄλβος ἄδικος, vii. Electr. 943. ἐν ὄλβῳ μὴ σαφεῖ βεβηκότες, vii. Antiop. Fr. xxv. 4. ὦ κρεῖττον ὄλβου κτῆμα, ejusd. Fr. xxxviii. φεύγει ὄλβος, vii. Archel. Fr. xxiv. 3. πῶς κτήσαιτ' ἂν ὄλβον εἰς ὑπερβολὴν πατρός; vii. Autol. Fr. iii. 6. ὑπέρφρονα ὄλβον, vii. Bell. Fr. vi. 2. ὄλβου διοίγων θάλαμον ἥδιστον, ejusd. Fr. xvi. 8. ὄλβου μέτα, vii. Dan. Fr. i. 8. τὸν ὄλβον οὐδὲν οὐδαμοῦ κρίνω βροτοῖς, vii. Pelei Fr. iv. 1. ὄλβος τυφλὸς, vii. Phaëth. Fr. v. 3. βαιὸς ὄλβος ἀβλαβὴς, vii. Phryx. Fr. xiv. 1. ἐν τῷ ὄλβῳ φαυλότης ἔνεστί τις, vii. Pol. Fr. v. 2. ὁ ὄλβος ἔξωθέν τις ἐστὶ πραγμάτων, vii. Fr. inc. li. 4. γυναικὶ ὄλβος, ἂν πόσιν στέργοντ' ἔχῃ, eorund. Fr. lvi. θνητῶν θνητὸς ὄλβος, eorund. lxviii. 5.

Ὀλβοφόροι, iv. Iph. Aul. 596.

Ὀλέθριος. ὀλέθριον κοίταν, i. Hec. 1067. ὀλέθριον βιοτὰν, ii. Med. 989. στρατείαν ὀλεθρίαν, iv. Suppl. 127. ζωστῆρος ὀλεθρίους ἄγρας, vii. Herc. Fur. 415. κακὸν ὀλέθριον, i. Hec. 639. et 1014. κῆδος ὀλέθριον, ii. Med. 1338. ὀλέθριον βάρος, v. Troad. 12. ὀλεθρίοις ἐν κύμασι, i. Orest. 338.

Ὄλεθρος. ὀπαδῶν τίς ὄλεθρος γενήσεται; i. Orest. 1125. ἐπ' ὀλέθρῳ τῶν χρωμένων, ii. Phœn. 544. cf. iv. Iph. Aul. 886. et 1257. et v. Iph. Taur. 602. τὸν Ἑλένης τίσαντας ὄλεθρον, iv. Iph. Aul. 1382. οἴκτῳ τὸ δεῖμα τοὐλέθρου νικᾶν, v. Iph. Taur. 486. ὄλεθρον ἀνόσιον, ibid. 873. Πολυξένης ὄλεθρος, v. Troad. 682. ὀλέθρου διὰ παντὸς, ibid. 800. εἶδε Περγάμων ὄλεθρον, ibid. 846. ὁ τῆσδ' ὄλεθρος, ibid. 1051. στενάζω τέκνων ὄλεθρον, vii. Herc. Fur. 1056.

Ὀλεσίθηρος, ii. Phœn. 674.

Ὀλιγάκις, i. Orest. 387. et 910.

Ὀλίγος. ἀριθμὸν ὀλίγον, vii. Herc. Fur. 6. εἰς ἥλικας ὀλίγους σοφώτερος, iii. Hipp. 991. ὀλίγοι ἐσθλοὶ κρείσσονες πολλῶν κακῶν, vii. Archel. Fr. xiii. cf. vii. Erechth. Fr. iii. ὀλίγη ἐν πόλει μοναρχία, vii. Aug. Fr. vii. 2. ὀλίγαις ὕστερον ἡμέραις, vii. Epist. v. lin. 68. δι' ὀλίγου, ii. Phœn. 1114. ἐν ὀλίγῳ πάντα συνθεὶς, iv. Suppl. 1136. σποδοῦ πλῆθος ὀλίγον, ibid. 1140. παρὰ ὀλίγον, v. Iph. Taur. 872. ὀλίγον φροντίσας δεσποτῶν, vi. Cycl. 163. ὀλίγον ἄλκιμον δόρυ, vii. Archel. Fr. x. 1. ὀλίγ' ἀρχόμενοι, ii.

Med. 120. ὃς ὀλίγ' ἀληθῆ — λέγει, iv. Iph. Aul. 957. εἰς εὐγένειαν ὀλίγ' ἔχω φράσαι καλὰ, vii. Dict. Fr. x. 1.

Ὁλκὰς, vi. Cycl. 502.

Ὁλκός. προσμίξω νεῶν ὁλκοῖσι, v. Rhes. 146. φεύγειν πρὸς ὁλκοὺς ναυστάθμων, ibid. 669. δάφνας ὁλκοῖς, vii. Ion. 143.

Ὀλλύναι. ὃ καὶ γῆν καὶ πόλεις ὄλλυσ' ἀεὶ, i. Orest. 518. ὀλλύναι πόσεις, ibid. 562. ὄλλυτε, ibid. 1295. cf. iii. Hipp. 1371. ὠλέσατε, i. Hec. 165. οὐδ' ὤλεσέν με Ζεὺς, ibid. 232. κείνη ὤλεσέν νιν, ibid. 266. ὃς παῖδα Θέτιδος ὤλεσεν, ibid. 388. Θρῆξ νιν ὤλεσε ξένος, ibid. 762. ἢ πλείστους Ἀχαιῶν ὤλεσεν, i. Orest. 734. ὤλεσας κεδνὸν λέχος, iii. Hipp. 836. εἰ δυσμενείᾳ σῇ τὰ φίλτατ' ὤλεσεν, ibid. 969. cf. v. Troad. 573. οἰκεῖος αὐτὸν ὤλεσ' ἁρμάτων ὄχος, iii. Hipp. 1161. ἄκων ὤλεσάς νιν, ibid. 1431. πῶς ἐν οἴκοις σοῖσιν ὤλεσεν βίον; iii. Alcest. 550. οὐ σὺ πρῶτος ὤλεσας γυναῖκα, ibid. 916. ὃς — ὤλεσε Πέργαμα Τροίας, v. Troad. 600. Κύκνον ξενοδαίκταν τόξοις ὤλεσεν, vii. Herc. Fur. 392. πολλοὺς βροντῆς πνεῦμ' ἀναιμον ὤλεσε, vii. Fr. inc. CXXXVII. ὀλέσας βίοτον, iii. Hipp. 1364. τὰ μέγιστα φίλων ὀλέσαντες, vii. Herc. Fur. 1421. τᾶς ἀνάνδρου κοίτας ὀλέσασα λέκτρον, ii. Med. 436. ξυμμάχους οἵους ὀλέσασα, vii. Herc. Fur. 135. ὀλεῖς, i. Orest. 158. ψυχὴν ὀλεῖς, iii. Hipp. 442. ὀλεῖ μ' ἐνδίκως, iv. Androm. 912. ἄλλους ὀλεῖ πρόσθε, iv. Iph. Aul. 659. πυρὶ φωσφόρους ὀλεῖ κόρας, vi. Cycl. 602. ἃ τὸν εὐεργέταν ὀλεῖς, vii. Herc. Fur. 873. οὐ τὸν Εὐρυσθέως ὀλεῖς, ibid. 984. διά μ' ὀλεῖτε, ibid. 1045. etc. 2) med. ὄλλυσθαι. νύμφη τύραννος ὄλλυται, ii. Med. 1062. ὀλλύμεσθα, ibid. 1269. ποίας ὄλλυμαι πρὸς αἰτίας; iv. Androm. 1115. δι' ἔργ' ἄνεργ' ὄλλυσαι, vi. Helen. 361. ὄλλυται κακῶς, ibid. 713. τῷ νόμῳ γ' ὄλλυμαι, vii. Ion. 1255. ὅτ' ὤλλυτο, i. Hec. 518. ἡνίκ' ὤλλυτο πτόλις, ibid. 755. μεσονύκτιος ὠλλύμαν, ibid. 902. ὅτ' ὠλλύμην ἐγὼ, iii. Alcest. 649. ὄλωλα, i. Hec. 772. iii. Hipp. 1406. 1445. et 1455. ὄλωλας, i. Hec. 511. et 662. ἐπεὶ ὄλωλε, ibid. 312. ὄλωλε γλυκεῖα φροντὶς, ii. Med. 1031. ὄλωλεν οἶκος, iii. Alcest. 427. πανταχῇ ὀλώλαμεν, iv. Androm. 895. ἀβούλως κἀκλεῶς ὀλώλαμεν, v. Rhes. 757. ὄλωλεν, ὡς ὄλωλεν, v. Troad. 632. παίδων ὁμοίαις ξυμφοραῖς ὀλωλότων, ii. Phœn. 1362. ὀλόμεθ', ὀλόμεθ' ἰσονέκυε, i. Orest. 195. θάνατον, οἴῳ πρὸς δάμαρτος ὤλετο, ibid. 355. ὡς ὤλεσθε πατρῴᾳ νόσῳ, ii. Med. 1361. οὗτοι πρὸς ἡμῶν γ' ὤλετο, iii. Alcest. 734. ὄλοιτο μὲν μὴ, ii. Med. 82. πῶς ἂν ὀλοίμην, ibid. 96. et iii. Alcest. 881. ὡς ὄλοιτο παγκάκως, iii. Hipp. 409. ἢ τ' ἄρ' ὀλοίμην ἀκλεὴς, ibid. 1032. cf. ver. 1321. ὄλοιντο λόγχαι, iv. Iph. Aul. 658. κακῶς ὄλοιτο, vi. Helen. 162. cf. vii. Tel. Fr. VII. et κακῶς ὀλέσθαι, iv. Suppl. 1205. κἂν γραῦς ὄληται, iii. Alcest. 56. κεραυνῷ ὀλέσθαι, iv. Androm. 1182. καλῶς ὀλέσθαι, v. Troad. 404. διὰ τὸν ὀλόμενον Ἰδαῖον Πάριν, i. Orest. 1359. νέκυν ὀλόμενον, ii. Phœn. 1312. σὺ μὲν ὀλόμενος, v. Troad. 1304. εὕδει ὕπνον ὀλόμενον, vii. Herc. Fur. 1053. ὀλόμενον δολίοις βρόχων ἕρκεσιν, vii Electr. 154. ὀλομένους — τυράννων δόμους, iii. Hipp. 874. νέκυσιν ὀλομένοις, vi. Helen. 178. ὀλομένους Ἀχαιοὺς, ibid. 383. ὀλομέναν Ἐρινννὺν, ii. Phœn. 1043. τὰν ὀλομέναν γυναῖκα, ii. Med. 1248. πόλεος ὀλομένας, v. Troad. 1071. ὥς σ' ὀλόμενον στένω, i. Orest. 1379. ὀλόμενον σκάφος, vi. Helen. 232. ὀλεῖ, iii. Hipp. 329. κακῶς ὀλεῖται, ii. Med. 784. et iv. Androm. 998. ὀλούμεθα, vi. Heracl. 443. εἰ τῶν κρατούντων ἀδικίαις ὀλούμεθα, vii. Ion. 257. τοῦ κακῶς ὀλουμένου, vi. Cycl. 472. et vi. Heracl. 874. ἡ κακῶς ὀλουμένη γαστὴρ, vii. Fr. inc. CLIX. 1. etc.

Ὀλολυγή. ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν κωκυτὸν, ii. Med. 1173.

Ὀλολύγματα, vi. Heracl. 782.

Ὀλολυγμὸς, i. Orest. 1136.

Ὀλολύζειν. ἡ σὴ μήτηρ ὠλόλυξεν, vi. Bacch. 678. ὀλολύζεται πᾶν δῶμα, vii. Electr. 691.

Ὀλοός. τέρας ὀλοὸν, i. Orest. 994. ὀλοὸν κακὸν, iii. Hipp. 888. κτύπημα χερὸς ὀλοὸν, iv. Androm. 1200. φέγγος ὀλοὸν, v. Troad. 845.

Ὅλος. ἐκπιεῖν ὅλον πίθον, vi. Cycl. 217. ὃν ἐξαλείφει πρόφασις ἡ τυχοῦσ' ὅλον, vii. Fr. inc. XXVII. 2. ἐπ' ὤμοις ὅλην πόλιν φέρων, ii. Phœn. 1147.

Ὀλοφύρομαι, v. Rhes. 893.

Ὀλύμπιος Ζεὺς, vii. Herc. Fur. 1295. et vii. Electr. 782.

Ὄλυμπος, 1) nom. montis. βῶλον ἐξ Ὀλύμπου, i. Orest. 976. cf. v. Troad. 217. vi. Bacch. 405. 546. et 552. 2) nom. viri. iv. Iph. Aul. 577. vid. not. 3) *cælum*. κόμαι εἰς Ὄλυμπον, ii. Phœn. 1200. πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ, ii. Med. 1412. τῶν κατ' Ὄλυμπον παρθένων, iii. Hipp. 70. ἐς Ὄλυμπον ὁρμαθεὶς, v. Iph. Taur. 1270. ἕρπ' Ὄλυμπον, v. Troad. 92. εἰς Ὄλυμπον βρέφος ἀνήγαγεν, vi. Bacch. 285. οἰκοῦσ' ὅμως Ὄλυμπον, vii. Herc. Fur. 1310. τοῦ σεμνοτάτου δι' Ὀλύμπου, vii. Andromed. Fr. XXVIII. 5.

Ὅλως. ὅλως μὴ πανομένους τῆς ἀναγωγίας, vii. Epist. v. lin. 31.

Ὅμαδος. ὅμαδον ἔκλυον ἄλυρον, vi. Helen. 185.

Ὅμαιμος, ὁ, *frater, cognatus*. ὦ πατρὸς ὅμαιμε, i. Orest. 667. ὁμαίμου λώβα, ii. Phœn. 329. τῆσδ' ὅμαιμος, v. Iph. Taur. 1362. μυρίων κρείσσων ὁμαίμων, i. Orest.

797. 2) ἡ, *soror*. iii. Hipp. 339. et vii. Meleagr. Fr. I. 5.

Ὁμαίμων. κρύψασ' ὁμαίμονα, vi. Helen. 889. τῶν ὁμαιμόνων κακὰ ξυνεκκομίζειν, i. Orest. 677. φιλεῖν τὰς ὁμαίμονας, v. Iph. Taur. 1430.

Ὁμαρτεῖν. μήτηρ ὁμαρτεῖ, iv. Iph. Aul. 417. ὥσθ' ὁμαρτεῖν μοι πέτρας, ibid. 1212. πολὺς ὄχλος γυμνὴς ὁμαρτεῖ, v. Rhes. 309. ὁ θεὸς ὁμαρτεῖ πρόσθεν, vi. Bacch. 911. ὁμαρτεῖτ' ἀθλίῳ μητρὸς ποδὶ, vii. Herc. Fur. 336. cf. ver. 621. ἐπιῤῥοίβδην ὁμαρτεῖν, ibid. 856. ὃς ποίμναις ὁμαρτεῖ, vii. Electr. 412. ἄστρα ὡμάρτει θεᾷ, vii. Ion. 1151. τίς ἡγεμών μοι ποδὸς ὁμαρτήσει τυφλοῦ, ii. Phœn. 1632. οἵδ' ὁμαρτήσουσί σοι, v. Iph. Taur. 1209.

Ὁμαρτῇ, adverb. *simul*. i. Hec. 827. iii. Hipp. 1190. et vi. Heracl. 139.

Ὄμβριμος. κεραυνὸν ὄμβριμον, vii. Ion. 211.

Ὄμβρος. Ζεὺς ὄμβρον — πέμψει, v. Troad. 78. ὅταν ἄνωθεν ὄμβρον ἐκχέῃ, vi. Cycl. 323. ὄμβρον λείπουσαι χειμέριον, vi. Helen. 1480. καλλίστων ὄμβρων διόθεν στερεῖσαι, vii. Electr. 736. ἐρᾷ ὄμβρου γαῖα, vii. Œd. Fr. XVII. 7. οὐρανὸς πληρούμενος ὄμβρου, ibid. 10. ὁ ὑγρὸς ὄμβρος, vii. Sis. Fr. I. 36.

Ὁμευνέτης, et Dor. έτας. ἀνδρός γ' ἀρίστου σοῦ τυχοῦσ' ὁμευνέτου, ii. Med. 949. θεὸς ὁμευνέτας, vii. Ion. 893.

Ὁμήγυρις φίλων ἡλίκων, iii. Hipp. 1175.

Ὁμῆλιξ. τῆσδε γῆς μοι ὁμήλικες, iii. Hipp. 1101. πρὸς τάφον ὁμηλίκων κώμους ἀπάξω, v. Troad. 1173. δάμαρτος τῆς ἐμῆς ὁμήλικας, iii. Alcest. 974. ἃς ὁμήλικας χρόνῳ κεκτήμεθα, vi. Bacch. 197.

Ὁμηρεύειν. θεᾷ θεὸς Ἥρᾳ ποθ' ὡμήρευσε, vi. Bacch. 293. τῶνδ' ὁμηρεύσας τέκνα, v. Rhes. 431.

Ὅμηρος. τοῖον ὅμηρον — Ἅιδῃ Θάνατος παρέδωκεν, iii. Alcest. 887. τόνδ' ὅμηρον ἐκδιδοὺς — νεικέων, vi. Bacch. 289. ξυλλάβεθ' ὅμηρον τήνδε, i. Orest. 1188.

Ὁμιλεῖν. εὐτυχίᾳ αὐτὸς ὁμιλεῖς, i. Orest. 348. θεοῖς ὁμιλεῖν, vi. Heracl. 872. μηδ' ὁμιλοίην κακοῖς, vii. Dict. Fr. XII. 2. cf. vii. Phœnic. Fr. IX. 7. χρηστοῖς ὁμιλοῦντα, vii. Fr. inc. LXII. 2. ἐγγελαστὴς τῶν ὁμιλούντων, iii. Hipp. 1004. Κενταύροις ὁμιλῆσαι δορὶ κλεινοτάτῳ, iv. Androm. 784. βραχὺν ὁμιλῆσαι χρόνον, vii. Electr. 940. ἐν ἀσπίδος κύτει ὁμιλήσας, vii. Antiop. Fr. XLII. 3.

Ὁμίλημα κακὸν, vii. Antiop. Fr. X. 3.

Ὁμιλία. ὦ ποθεινὸν ὄνομ' ὁμιλίας ἐμῆς, i. Orest. 1081. ὁμιλίᾳ χθονὸς, ii. Phœn. 1423. μείζω βροτείας προσπεσὼν ὁμιλίαν, iii. Hipp. 19. τῆς σῆς στερηθεὶς φιλτάτης ὁμιλίας, ibid. 839. μακρὰν λείπεις ῥᾳδίως ὁμιλίαν, ibid. 1439. ἡ ὁμιλία πάντων βροτοῖσι γίγνεται διδάσκαλος, iv. Androm. 681. ἔχει ὄντως ἐν θεοῖς ὁμιλίαν, iv. Iph. Aul. 1621. ἀδελφῶν ἡ παροῦσ' ὁμιλία, vi. Heracl. 581. τῇδ' ὁμιλίᾳ βροτοὺς κρινεῖτε; vii. Electr. 384. κρείσσον εἰς ὁμιλίαν πεσόντα, vii. Æol. Fr. IV. 1. παύσω ξυμποτῶν ὁμιλίας. iii. Alcest. 353. αἱ συγγενεῖς ὁμιλίαι, v. Troad. 51. νυμφικὰς ὁμιλίας, vi. Helen. 1399. ὁμιλίας τὰς γεραιτέρας φίλει, vii. Erechth. Fr. II. 21. ὁμιλίαι κακαὶ, vii. Fr. inc. CLXXXIX.

Ὅμιλος. ναύταν οὐκέθ' ὁρῶν ὅμιλον, i. Hec. 909. οὐκ ἔπειθ' ὅμιλον, i. Orest. 933. φεύγουσ' ὅμιλον, iv. Androm. 19. πᾶς εἰς θέαν ὅμιλος ἔρχεται δρόμῳ, iv. Iph. Aul. 427. Σατύρων — ὅμιλον εἰσορῶ, vi. Cycl. 100. θοινατόρων ὅμιλος, vii. Ion. 1206.

Ὄμμα. θανούσης ὄμμα συγκλείσει τὸ σὸν, i. Hec. 430. τέγξω τόδ' ὄμμα, ibid. 518. ὄμμα λαμπρὸν, ibid. 1028. ὄμμα τυφλὸν, ibid. 1099. ὄμμα ἐκτήξουσ' ἐμὸν δακρύοις, i. Orest. 134. ὄμμα σὸν ταράσσεται, ibid. 247. ὄμμα θεῖσ' εἴσω πέπλων, ibid. 274. ὄμμα φαιδρωπὸν, ibid. 884. οὐδ' ὄμμ' ἔδειξεν, ibid. 1007. ἡσύχῳ ὄμματι, ibid. 1311. διὰ τὸ τᾶς ὀρνιθόγονον ὄμμα, ibid. 1382. ὄμμα δακρύοις πεφυρμένοι, ibid. 1409. cf. iii. Alcest. 842. σχάσον δεινὸν ὄμμα, ii. Phœn. 464. Ἀρτέμιδος χιονότροφον ὄμμα, ibid. 815. σκυθρωπὸν ὄμμα, ibid. 1353. ἀλαὸν ὄμμα, ibid. 1547. οὔτ' ὄμμ' ἐπαίρουσα, ii. Med. 27. εἶδον ὄμμα νιν ταυρουμένην, ibid. 91. ὄμμα συντέτηκε, ibid. 687. τί δὴ κατηφεῖς ὄμμα; ibid. 1008. ὄμμα φαιδρὸν, ibid. 1039. ἐξ ἀναύδου καὶ μύσαντος ὄμματος, ibid. 1180. ἐπ' αἰσχύνην ὄμμα τέτραπται, iii. Hipp. 246. τὸ σεμνὸν Ζηνὸς ὄμμ' ἀτιμάσας, ibid. 890. ὄμμα χραίνειν θανασίμοισιν ἐκπνοαῖς, ibid. 1436. σκοτεινὸν ὄμμα, iii. Alcest. 395. ὄμμα οὐκ ἐδείκνυμεν ξένῳ τέγγοντες, ibid. 779. cf. iv. Suppl. 21. iv. Iph. Aul. 496. ὦ φιλτάτης γυναικὸς ὄμμα, iii. Alcest. 1152. κατ' ὄμμ' ἐλθὼν μάχῃ, iv. Androm. 1052. κατ' ὄμμα στὰς, ibid. 1106. εἰ ἦν παρ' ὄμμα θάνατος, iv. Suppl. 494. ὡς ἄνολβον εἶχες ὄμμα, ibid. 354. αἱματηρὸν ὄμμ' ἔχων, iv. Iph. Aul. 381. ποῖον ὄμμα συμβαλῶ; ibid. 455. ὄμμα πωλικὸν, ibid. 620. ποθῶ ὄμμα σὸν, ibid. 637. ὄμμα ἔκτεινον φίλον, ibid. 648. ὄμμ' ἔχουσ' ἐλεύθερον, ibid. 994. cf. vii. Herc. Fur. 221. ὄμμα δὸς φίλημά τε, iv. Iph. Aul. 1238. ὄμμα πανταχοῦ στρέφων, v. Iph. Taur. 68. νυκτὸς ὄμμα, ibid. 110. ἱερὸν ὄμμ' αὐγᾶς, ibid. 194. λαθόντες ὄμμα τοὐμὸν, v. Rhes. 54. λέγω κατ' ὄμμα σὸν, ibid. 418. θέλγει ὄμματος ἕδραν ὕπνος, ibid. 550. ὕπαφρον ὄμμ' ἔχων, ibid. 706. ἄγρυπνον ὄμμα, ibid. 821. ὄμμα ἥσυχον, v. Troad. 649. κατ' ὄμμα, *interdiu*, vi. Bacch. 461. ὄμμα τ' ἐκτήξω πυρὶ, vi. Cycl. 458. λαμπρὸν πυρώσας ὄμμα, ibid. 595. ὄμματος ὄψις, ibid. 623. κατηφὲς ὄμ-

μα, vi. Heracl. 633. οὐκ ἐβούλετο ζῶν εἰς σὸν ἐλθεῖν ὄμμα, ibid. 887. ὄμματι λάβρῳ, vi. Helen. 378. τὸ ὄμμα μου νοσεῖ; ibid. 574. ὄμμ' ἀναστρέφων κύκλῳ, ibid. 1556. ὦ ταυρόμορφον ὄμμα, vii. Ion. 1260. δὸς πατρῴοις δώμασιν σὸν ὄμμ' ἰδεῖν, vii. Herc. Fur. 600. παῖδες προσέσχον ὄμμα, ibid. 926. ἀγριωπὸν ὄμμα Γοργόνος, ibid. 985. Ἕως λευκὸν ὄμμ' ἀναίρεται, vii. Electr. 102. διάβροχον ὄμμα, ibid. 503. ὄμμ' ἐγείρει, vii. Inus Fr. I. 2. ὄμμα πυρὸς γέμεις, vii. Syl. Fr. IV. 3. ἆρ' εἶδες τοιόνδ' ὄμματι πρόσθε πάθος; Epigr. I. 2. vii. vol. p. 711. 2) Plur. ὀμμάτων ἄπο, i. Hec. 240. ἀφίημ' ὀμμάτων ἐλεύθερον φέγγος τόδε, ibid. 367. διὰ καλῶν ὀμμάτων, ibid. 442. ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών, ibid. 568. ὀμμάτων ἐμῶν ὄψιν, ibid. 696. τυφλοῦμαι φέγγος ὀμμάτων, ibid. 1018. ἐμῶν ὀμμάτων — κόρας κεντοῦσιν, ibid. 1151. cf. ver. 1237. κατ' ὄμματα, i. Orest. 282. ὀμμάτων ξηραῖς κόραις, ibid. 383. σὺ — εἰς ὄμματ' ἐλθεῖν, ibid. 455. εἰς ὀμμάτων ὄψιν περᾶν, ibid. 506. πάντα ταῦτ' ἐν ὄμμασιν, ibid. 776. δόχμια κόρας διάφερ' ὀμμάτων, ibid. 1259. σκυθρωπούς ὀμμάτων ἔξω κόρας, ibid. 1313. εἰς ὄμμαθ' αὑτοῦ δεινὸν ἐμβάλλει φόνον, ii. Phœn. 59. ὄμμασι γοργὸς εἰσιδεῖν, ibid. 146. καλοῖς βλέπουσί γ' ὄμμασιν, ibid. 408. εἰς ταὐτὸν ὄμμασι βλέπων, ibid. 468. ὅταν — ὄμματ' ὄμμασιν διδῷ, ibid. 472. μέλαιναν κῆρ' ἐπ' ὄμμασιν βαλὼν, ibid. 964. στικτοῖς ὄμμασιν δεδορκότα, ibid. 1131. ὄμματα βλέποντα, ibid. 1132. ὀμμάτων ἄπο προσεῖπε δακρύοις, ibid. 1454. σκότον ὄμμασι σοῖσι βαλὼν, ibid. 1550. ὄμματα προσβαλοῦσα τέκνοις, ii. Med. 856. τί προσδέρκεσθέ μ' ὄμμασιν; ibid. 1036. προὐκαλύψατ' ὄμματα, ibid. 1144. ὀμμάτων ἄπο κόρας στρέφουσαν, ibid. 1171. οὔτ' ὀμμάτων δῆλος ἦν κατάστασις, ibid. 1194. κατ' ὀμμάτων στάζεις πόθον, iii. Hipp. 527. ἰδὼν ἐν ὄμμασι τὸν — ibid. 1260. φῶς ὄμμασιν δεδορκὼς, iii. Alcest. 123. κόμιζε ἀπ' ὀμμάτων γυναῖκα τήνδε, ibid. 1083. ἐξ ὀμμάτων πηγαὶ κατερρώγασιν, ibid. 1086. θεᾷ διδόντες ὄμματα, iv. Androm. 1076. ἐπ' ὀμμάτων φάρη βαλοῦσα, iv. Suppl. 296. ἄϋπνα ὀμμάτων τέλη, ibid. 1147. νοτὶς ὀμμάτων, iv. Iph. Aul. 684. ἐξ ὀμμάτων δάμαρτ' ἀποστεῖλαι, ibid. 743. ὀρθοῖς ὄμμασιν, ibid. 851. ταραγμὸν ὀμμάτων, ibid. 1128. ὄψιν ὀμμάτων ξυνήρμοσεν, v. Iph. Taur. 1168. καλλίστων ὀμμάτων ἄπο, v. Troad. 774. αἱρεῖ ἀνδρῶν ὄμματα, ibid. 885. οὐ φανερὸς ὄμμασίν γ' ἐμοῖς, vi. Bacch. 493. ἀποβαλοῦσαι θαλερὸν ὀμμάτων ὕπνον, ibid. 681. τυφλοῦντος ὄμματα δαλοῦ; vi. Cycl. 468. καλὸν ὄμμασιν δεδορκὼς, ibid. 508. τά γ' ὄμματα μεστ' ἐστιν ἡμῶν κόνεος, ibid. 633. ξύννοιαν ὄμμασιν φέρων, vi. Heracl. 382. ἐς ὄμματ' εὔνου φωτὸς ἐσβλέψαι γλυκὺ, vii. Ion. 732. ὀμμάτων αὐγαὶ, vii. Herc. Fur. 131. οὓς πανύστατ' ὄμμασιν προσδέρκομαι, ibid. 454. ἐν στροφαῖσιν ὀμμάτων ἐφθαρμένος, ibid. 927. μύσος εἰς ὄμμαθ' ἥξει — ξένων ἐμῶν, ibid. 1147. Ἕκτορος ὄμμασι τροπαῖοι, vii. Electr. 469. ξυννεφοῦσαν ὄμματα, ibid. 1078. ὀμμάτων ἄπο αἱμοσταγεῖς κρηστῆρες ῥεύσονται, vii. Thes. Fr. I. 2. etc.

Ὀμματοστερὴς, ii. Phœn. 337.

Ὀμνύναι. ὄμνυμι γαῖαν, κ. τ. λ. ii. Med. 750. ὄμνυμι σεμνὴν Ἄρτεμιν, iii. Hipp. 710. ὅρκιόν σοι Ζῆνα — ὄμνυμι, ibid. 1030. ὄμνυ, v. Iph. Taur. 744. ὄμνυ πέδον γῆς, κ. τ. λ. ii. Med. 744. τόνδ' ὀμνύναι χρεὼν, iv. Suppl. 1198. ἡ γλῶσσ' ὀμώμοκε, iii. Hipp. 608. δισσοῖς ὤμοσεν γαμβροῖς τόδε, ii. Phœn. 438. ὅρκους, οὓς ὤμοσα, iii. Hipp. 1066. ὤμοσεν πόλιν πέρσειν, iv. Suppl. 508. ὤμοσαν τὸν Τυνδάρειον ὅρκον, iv. Iph. Aul. 391. ὄμοσον, i. Orest. 1531. κάλλιστα ὀμόσας, v. Iph. Taur. 790. Ζεὺς ὀμώμοσται πατὴρ, v. Rhes. 812.

Ὁμόγαμος, ii. Phœn. 137. μάτην ὁμόγαμόν σ' ἐκτησάμην, vii. Herc. Fur. 339.

Ὁμογενέτωρ, ii. Phœn. 167.

Ὁμογενής. ἀνὴρ ὁμογενὴς, i. Orest. 238. ὁμογενὴς ἐμὸς, v. Iph. Taur. 919. ἀνδροκτόνου γυναικὸς ὁμογενὴς ἔφυς, vii. Fr. inc. B. XXIX. 1. ὁμογενεῖς ἐπὶ Λαΐου, ii. Phœn. 225. ὁμογενεῖς φίλους, ibid. 446. ὁμογενῆ δέραν, ibid. 1307. ὁμογενῆ ψυχὰν, ibid. 1308. ὁμογενῆ μιάσματα, ii. Med. 1265.

Ὁμόγνιος Ζεὺς, iv. Androm. 913.

Ὁμόδουλος, ἡ, i. Hec. 60.

Ὁμόθεν. τὸν ὁμόθεν τιμᾶν, i. Orest. 480. τὸν ὁμόθεν πεφυκότα στέργων, iv. Iph. Aul. 501. κἂν ὁμόθεν ὦσι, vii. Fr. inc. LXXXVI. 2.

Ὅμοιος. ὑμῖν ἐγένεθ' ὅμοιος, vi. Bacch. 1292. cf. vi. Cycl. 38. οὐκ ἔστεργέ σοι ὅμοιος εἶναι, vii. Ion. 817. ὅστις κακοῖσιν ὅμοιος ᾖ, vii. Dict. Fr. XIII. 2. πρὸς τῶν ὁμοίων πόλεμον αἱροῦνται, vii. Alex. Fr. IX. 2. ἐκ τῶν ὁμοίων οἱ κακοὶ γαμοῦσ' ἀεὶ, ejusd. Fr. XI. τῶν ὁμοίων κρατεῖν, vii. Antig. Fr. V. 3. σεμνύνεσθαι παρ' ὁμοίοις, vii. Fr. inc. XCVII. 4. Ἑλένη σ' ὁμοίαν δὴ μάλιστ' εἶδον, vi. Helen. 562. ὁμοίαν ὄψιν, vii. Alex. Fr. XII. 5. ὁμοίαις ξυμφοραῖς, ii. Phœn. 1362. οὐ τὰς φρένας ἔχεις ὁμοίας, vi. Helen. 161. ὅμοιον, i. Orest. 689. et iv. Suppl. 1079. οὐθ' ὅμοιον οὐδὲν, οὔτ' ἴσον βροτοῖς, ii. Phœn. 511. et vii. Fr. inc. CCXXVI. Ἑλένη ὅμοιον σῶμ' ἔχουσα, vi. Helen. 160. ὅμοια τοῖς βουλεύμασιν, i. Hec. 331. ὅμοια τοῖς ἐμοῖς τολμήμασι, i. Orest. 1063. ὅμοι' ἐκεῖσε δεῦρό σ' ἤγαγες πάλιν (sc. τὰ τεύχη), iv. Androm. 616. τὰ οἴκοι τοῖσδ' ὅμοι' ἐγίγνετο, v. Troad. 381. φιλεῖ τὰ πόλλ' ὅμοια σώμα-

τος πεφυκέναι, vii. Electr. 523. τέκνα ὅμοια τῇ φύσει τῇ τοῦ πατρὸς, vii. Alcmæon. Fr. viii. 3. ἑῴοις ὅμοια (adverb.) φλεγέθων βολαῖσιν ἀελίου, ii. Phœn. 171.

Ὁμοιοῦν. ὁμοιώσασ' ἐμοὶ εἴδωλον ἔμπνουν, vi. Helen. 33. ὁμοιοῦσθαι κακοῖς, ii. Med. 886. ὀργὰς πρέπει θεοὺς οὐχ ὁμοιοῦσθαι βροτοῖς, vi. Bacch. 1338. ἄστροις ὁμοιωθέντε, vi. Helen. 140.

Ὁμοίως. δράσεις ὁμοίως ταῦτα, iii. Alcest. 71. θεοῖσιν ὁμοίως τιμᾶσθαι, ibid. 1017. πεσσῶν ὁμοίως, vii. Erechth. Fr. i. 9. vid. etiam iv. Iph. Aul. 65. v. Iph. Taur. 490. v. Troad. 643. vi. Bacch. 188. vii. Herc. Fur. 1363. vii. Fr. inc. B. xix. 2. vii. Epist. iv. lin. 53. et v. lin. 105. et 107.

Ὁμόλα, Dor. pro ὅλη, nom. montis. vii. Herc. Fur. 371.

Ὁμόλεκτρος γυνὴ, i. Orest. 501. Ζηνὸς ὁμόλεκτρον κάρα, ibid. 470.

Ὁμολογεῖν. ὁμολογῶ σε ἀδικεῖν, vii. Aug. Fr. viii. 1. ὁμολογῶ εὖ τὰ μέγιστα πεπονθέναι, κ. τ. λ. vii. Epist. iii. lin. 26. cf. vii. Epist. iv. lin. 75. et 86. αὐτὸ τὸ σιγᾶν ὁμολογοῦντος ἐστί σου, iv. Iph. Aul. 1142.

Ὁμολωΐδες πύλαι, una e septem Thebarum portis. ii. Phœn. 1135.

Ὁμόπτερος. βοστρύχους ὁμοπτέρους, vii. Electr. 530. ἀπήνας ὁμοπτέρου, ii. Phœn. 338.

Ὁμοῤῥοθεῖν. ἐν λόγοισι τοῖς ἐμοῖς ὁμοῤῥοθεῖ, i. Orest. 523.

Ὁμόσε χωρεῖν τοῖς λόγοις, i. Orest. 912.

Ὁμόσπορος. ὁμοσπόρους φῦναι τυράννους παῖδας, ii. Med. 596. τῶν ἐμῶν ὁμοσπόρων ὅσπερ λέλειπται, v. Iph. Taur. 612. φόνον ὁμοσπόρων ἐκπράξειν, vii. Herc. Fur. 1070. 2) ἡ, soror. σφάγι' ἐμῆς ὁμοσπόρου, i. Orest. 651. cf. v. Iph. Taur. 696. et 923. αἱ ὁμόσποροι, vi. Bacch. 961. cf. ver. 1081. et vii. Erechth. Fr. i. 41.

Ὁμόφυλος. φιλίαν ὁμόφυλον, vii. Herc. Fur. 1193. εἰς τὸ ὁμόφυλον, v. Iph. Taur. 347.

Ὀμφαλός. παρ' ὀμφαλὸν, i. Hec. 557. δι' ὀμφαλοῦ καθῆκεν ἔγχος, ii. Phœn. 1427. ὀμφαλὸν γῆς θεσπιῳδὸν, ii. Med. 666. cf. vii. Ion. 5. et 223.

Ὀμφὴ, vel Dor. ὀμφά. πῶς μύθων αὐδαθέντων δέξαιτ' ὀμφάν; ii. Med. 175. ὃς ὀμφὰν κληροῖς πρὸς χρυσέους θάκους, vii. Ion. 907.

Ὄναρ. τοὔναρ ὧδε συμβάλλω τόδε, v. Iph. Taur. 55. cf. ver. 59. μηδ' ἰδὼν ὄναρ, ibid. 519. ὡς ὄναρ δοκῶν, v. Rhes. 778. τοῦτ' ἰδὼν ὄναρ λέγω; vi. Cycl. 8. οὐδ' ὄναρ — φίλοις ἔδειξεν αὐτὸν, vii. Alop. Fr. vii. 1.

Ὄνασις, Dor. pro ὄνησις. κακονυμφοτάταν ὄνασιν, iii. Hipp. 754.

Ονειδίζειν. οὐκ ὀνειδίζω τύχας, i. Orest. 4. cf. ver. 85. ὀνειδίζεις φίλοις, iii. Alcest. 717. ἃ ὀνειδίζεις πατρὶ, vi. Helen. 1008. τὰς αἱματωποὺς θέας ὀνειδίζων ἐμοὶ, iv. Androm. 970. εἰδόσιν ὠνείδισας, i. Hec. 664. ἃ εἰς γάμους μοι βασιλικοὺς ὠνείδισας, ii. Med. 547. ὠνείδισας δὴ τοῦτο Διονύσῳ καλόν; vi. Bacch. 641. μηδὲν τοῦτ' ὀνειδίσῃς ἐμοὶ, iv. Androm. 88. cf. iv. Iph. Aul. 1148. τἄλλα οὐκ ὀνειδιῶ, v. Troad. 432. ὀνειδίζομαι, ibid. 929.

Ὀνειδιστήρ. λόγους ὀνειδιστῆρας ἐνδατούμενος, vii. Herc. Fur. 217.

Ὄνειδος. ταῖς ἂν Θήβαις τόδε γένοιτ' ὄνειδος, ii. Phœn. 523. Θήβαις κάλλιστον ὄνειδος, ibid. 835. cf. ii. Med. 514. iv. Iph. Aul. 305. Σφιγγὸς ἀναφέρεις ὄνειδος; ii. Phœn. 1746. σοὶ τοῦτ' ὄνειδος, iii. Alcest. 737. ἐμοὶ ὄνειδος μὴ θανεῖν ὑπὲρ τέκνου, iv. Androm. 410. Δελφοῖς ὄνειδος, ibid. 1230. σοὶ ὄνειδος ἵξεται, iv. Iph. Aul. 906. μήτ' εἰς ὄνειδος ἀμαθὲς ἔλθωμεν, ibid. 999. τὸ Διὸς ὄνειδος, v. Troad. 842. πόλει ὄνειδος, vi. Heracl. 72. τέκνοις ὄνειδος λιπεῖν, ibid. 302. κακὸν γένοιτ' ὄνειδος, ibid. 464. τοῦτ' ἔχων τοὔνειδος, vii. Ion. 595. τί λέγων μεῖζόν σε τοῦδ' ὄνειδος ἐξείποι τις ἄν; vii. Bell. Fr. xiii. 2. ὀνείδη τάδε κλύων, i. Orest. 1237. οὐκ ἐπ' ὀνείδεσιν — λέγω, ii. Phœn. 1571. οὐκ ἄν σε μυρίοις ὀνείδεσι δάκοιμι, ii. Med. 1341. ἐκφέρουσι μητρῷ' ὀνείδη, iv. Androm. 620. ἡμῖν ὀνείδη (sc. λέγεις), ibid. 647. ὀνείδεσιν ἔγκειται δόμων, ibid. 777. Ἀργεῖ' ὀνείδη, v. Troad. 420. τὰ Ἑλλάδος δύσφορα ὀνείδη, vi. Cycl. 296. πατρίδος οὐκ ὀνείδη, vii. Herc. Fur. 128.

Ὀνείρατα. ὀνείρατ' ἀγγέλλουσα τἀγαμέμνονος, i. Orest. 611. ἐν ὀνείρασι φοιτῶσά μ' εὐφραίνοις ἄν, iii. Alcest. 364. καὶ ὀνείρασι συμβαίνην οἴκοις — v. Iph. Taur. 453.

Ὄνειρος, et ὄνειρον. πτανὸν ὄνειρον, ii. Phœn. 1561. ὥστ' ὄνειρον ἰσχὺν ἔχων, ibid. 1736. εἰ μή γ' ὄνειρον ἐν φάει τι λεύσσομεν, vii. Herc. Fur. 516. τὸ ὑπὸ γῆν ᾅδου σκότος οὐδεὶς ὄνειρον — μολεῖν, vii. Meleagr. Fr. xvii. 2. μελανοπτερύγων μᾶτερ ὀνείρων, i. Hec. 71. ὄψιν, ἂν — δι' ὀνείρων εἶδον, ibid. 74. ὡς μοι κρίνωσιν ὀνείρους, ibid. 87. οἵαν ἴδομαν ὄψιν ὀνείρων, v. Iph. Taur. 151. ψευδεῖς ὄνειροι, ibid. 570. πτηνῶν ὀνείρων οὐκ ἀψευδέστεροι, ibid. 572. παῦσε νυχίους ὀνείρους, ibid. 1278. ἐννύχοις πεπεισμένη ὀνείροις, vi. Helen. 1190. cf. vii. Herc. Fur. 112. ποῖ ὄνειρα κηραίνουσ' ὁρῶ; vii. Herc. Fur. 517. ὀνείρων ἕρπομεν μιμήματα, vii. Æol. Fr. xviii. 3.

Ὀνειρόφρων, i. Hec. 701.

Ὄνημι. ὅπῃ ὤνησας, ii. Med. 533. οἱ 'μοὶ γάμοι ὤνησαν Ἑλλάδα, v. Troad. 926. τάσδε Θήβας εὐκλεῶς ὠνήσαμεν, vii. Herc. Fur. 271. οὐδεμίαν ὤνησε κάλλος εἰς πόσιν ξυνάορον, ἡ ἀρετὴ δ' ὤνησε πολλὰς, vii. Fr. inc. cli. 1. 2. ὅσῳ πλείονα σεαυτὸν ὤνησας

ἢ ἄλλον τινὰ, vii. Epist. III. lin. 24. παῖδας ὀνῆσαι, iii. Hipp. 314. cf. ii. Med. 567. γᾶν φίλαν Ἰνάχου θεῖτ' ὀνήσας, iv. Suppl. 382. οὐδέ νιν μετάστασις γνώμης ὀνήσει, iv. Androm. 996. ἃ σμικρὰ ὀνήσει πόλιν ἡμετέραν, vi. Heracl. 705. ὑμᾶς ὀνήσω, ibid. 1044. δῶμ' ὀνήσων, vii. Electr. 1025. ὀναίμην τοῦ παρόντος, i. Hec. 983. ὄναιο, i. Orest. 1694. iv. Iph. Aul. 1008. et vi. Helen. 645. et 1417. ὡς ὀναίμην, iv. Suppl. 267. ὄναιο τῶν φρενῶν, iv. Iph. Aul. 1359. ὄναισθε μύθων, v. Iph. Taur. 1079. ὀναίμαν τύχας, vi. Helen. 644. πρὶν σφῶν ὄνασθαι, ii. Med. 1021. ὄνασθαι, μὴ μαθεῖν. βούλου, iii. Hipp. 519. ὥστ' ὄνασθαι πρὸς τὰ νῦν πεπτωκότα, ibid. 715. οὐδ' ὤνασθε τῶν ἐμῶν καλῶν, vii. Herc. Fur. 1360. οὔτε λέκτρων νεογάμων ὀνήσομαι, ii. Med. 1345. ὀνησόμεσθα, iv. Iph. Aul. 1360. χρημάτων ὀνήσομαι, vi. Helen. 934. σοῦ οὐκ ὠνήμεθα, iii. Alcest. 345.

Ὄνησις. χρυσοῦ ὄνησις οἴχεται, i. Hec. 1213. τέρπου κενὴν ὄνησιν, i. Orest. 1042. βίου ὄνησις, ii. Med. 256. κακοῦ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει, ibid. 618. τῶνδ' ὄνησιν εὔχομαι θεοῖς γενέσθαι, iii. Alcest. 344. ὑμῖν ὄνησιν, v. Iph. Taur. 580. ἔχει δ' ὄνησιν τοῖσι θύουσιν τινά; vi. Bacch. 465. τὰς ὀνήσεις τῷ ταλαιπώρῳ βίῳ, vii. Sis. Fr. I. 30.

Ὄνομα. τῆς εὐγενείας ὄνομα, i. Hec. 381. προσειπεῖν σὸν ὄνομ' ἔξεστί μοι, ibid. 435. τύμβῳ ὄνομα σῷ κεκλήσεται, ibid. 1253. τὸ ὄνομ' οὐ λέλοιπέ με, i. Orest. 384. ὄνομα, ἔργον δ' οὐκ ἔχουσιν οἱ φίλοι, ibid. 448. ὅσιος (sc. εἰμὶ) ἕτερον ὄνομα, ibid. 540. ὦ ποθεινὸν ὄνομ' ὁμιλίας ἐμῆς, ibid. 1081. σοὶ τί θηρῶν ὀνόματος μετῆν; ii. Phœn. 423. ὄνομ' ἔχει μόνον, ibid. 563. τοὔνομα λαβὼν γενναῖον, ibid. 1334. ὦ φίλτατον ὄνομα Πολυνείκους ἐμοὶ, ibid. 1716. τῶν μετρίων τοὔνομα νικᾷ, ii. Med. 126. κρεῖσσον τοὔργον, — ἢ τοὔνομα — iii. Hipp. 504. ὄνομ', οὐκ ἔργον, παρέχων, iv. Iph. Aul. 128. ὄνομα τὸ σόν μ' ἀπώλεσε, ib. 910. cf. ver. 947. et 962. ὄνομα φέροντα Δαναΐδαισιν, ib. 1309. τὸ σῶμα θύσεις τοὐμὸν, οὐχὶ τοὔνομα, v. Iph. Taur. 505. τὸ κλεινὸν ὄνομα τῆς σωτηρίας λαβόντες, ibid. 906. τί ποτ' ἔχουσι τοὔνομα κήρυκες; v. Troad. 426. τὸ κλεινὸν ὄνομ' ἀφαιρήσει τάχα, ibid. 1269. ὄνομα γᾶς ἀφανὲς εἶσιν, ibid. 1314. ἐνδυστυχῆσαι τοὔνομ' ἐπιτήδειος εἶ, vi. Bacch. 500. ἀγέραστον ἔχων ὄνομα, ibid. 1367. ὄνομα δυσκλεὲς, vi. Helen. 66. ὄνομα νησιωτικὸν, ibid. 149. δι' ἐμὸν ὄνομα πλύπονον, ibid. 199. θαῦμαστ', ἔλασσον τοὔνομ', ἢ τὸ πρᾶγμ', ἔχων, ibid. 600. τοὔνομ' οὐκ ἔχων ἐλεύθερον, ibid. 729. χρηστήριον τοὔνομα, ibid. 821. θεοῖς παρέσχε τοὔνομα, ibid. 1652. τὸ ὠφέλιμον ἐμοὶ πατέρος ὄνομα λέγω, vii. Ion. 137. ὄνομα ποῖον αὐτὸν ὀνομάζει, ibid. 799. ὀνόματι μεμπτὸν τὸ νόθον, vii. Antig. Fr. IX. τοὐλεύθερον ὄνομα παντὸς ἄξιον, vii. Aug. Fr. VII. 3. πόλεως ἁπάσης τοὔνομ' ἓν, vii. Erechth. Fr. I. 21. δοῦλον ἐσθλὸν τοὔνομ' οὐ διαφθερεῖ, vii. Melan. Fr. VI. 1. πολλοῖσι δούλοις τοὔνομ' αἰσχρὸν, vii. Phryx. Fr. X. 1. ὁ βίος ὄνομ' ἔχει, vii. Fr. inc. CXXII. ὅμοιον οὐδὲν πλὴν ὀνόμασιν, ii. Phœn. 512. τοῖς ὀνόμασιν εὖ λέγεις, iv. Iph. Aul. 1115. νεκρῶν φέροντας ὀνόματ' εἰς οἴκους, vi. Helen. 398. πολλοὶ ὀνόματα ταὔτ' ἔχουσι, ibid. 497. δεῖ οὐ ταῖς φήμαις τῶν ὀνομάτων ἐξελέγχεσθαι τρόπους, vii. Alex. Fr. XXIII. 2. πολλῶν ὀνομάτων ἐπώνυμος, vii. Fr. inc. CXLV. 2. etc.

Ὀνομάζειν. ὀνομάζειν αἰδοῦμαι θεὰς Εὐμενίδας, i. Orest. 37. οὐ θέμις σοι μητρὸς ὀνομάζειν κάρα, ii. Phœn. 621. ἀναφανῶ σε Θήβαις ὀνομάζειν, vi. Bacch. 521. ἤδη τόδ' ὀνομάζω σ' ἔπος, vi. Helen. 1192. ὄνομα ποῖον αὐτὸν ὀνομάζει, vii. Ion. 799. τὸ ἐν μέσῳ τοῦ οὐρανοῦ τε καὶ χθονὸς ὀνομάζουσι χάος, vii. Cadm. Fr. ver. 2. Ἱππολύτῳ ἔπι ὠνόμαζεν ἱδρύσθαι θεὰν, iii. Hipp. 33. ὃν ὠνόμαζε Διομήδην, iv. Suppl. 1228. τίς σε ἐν δεκάτᾳ τόκον ὠνόμασε; vii. Æg. Fr. I. 2. ὀνομάσαι οὐ βούλομαι, i. Orest. 403. οὐδ' ὀνομάσαι δύναι' ἂν ὡς ἐστὶν φίλον, ii. Phœn. 418. πῶς σε μεῖζον ὀνομάσας τύχω; v. Iph. Taur. 1322. τὰ ἔργα σου — ὀνομάσασαν, iv. Iph. Aul. 1116. τίς ὀνομάζεται; ii. Phœn. 123. Ζεὺς, εἴτ' Ἀΐδης, ὀνομαζόμενος στέργεις, vii. Fr. inc. CLV. 3. ὅστις κατ' ἰσχὺν πρῶτος ὠνομάζετο, vii. Fr. inc. XXXIX. 4. et vii. Fr. inc. B. XLVII. 5. ὅστις τοῦ ἄρσενος πατρὸς οὐκ ὠνόμασται, vii. Electr. 935. Πελασγιώτας ὠνομασμένους, vii. Archel. Fr. II. 7. Ἴωνες ὀνομασθέντες, vii. Ion. 1588.

Ὀνομαστός. ὀνομαστὰ πράσσων, vii. Herc. Fur. 507.

Ὄνος. τοὺς ὄνους τοὺς λαρκαγωγοὺς, vii. Autol. Fr. I. 1.

Ὄντως. ἔχει ὄντως ἐν θεοῖς ὁμιλίαν, iv. Iph. Aul. 1621. vid. etiam vii. Ion. 223. et vii. Archel. Fr. XXV. 2.

Ὄνυξ. δίαιμον ὄνυχα τιθεμένα σπαραγμοῖς, i. Hec. 651. τιθεῖσα λευκὸν ὄνυχα διὰ παρηΐδων, i. Orest. 951. cf. iv. Suppl. 87. vi. Helen. 372. et 1088. et vii. Electr. 147. πρὸς ὀξὺν ὄνυχα πετραίου λίθου, vi. Cycl. 400. sed. vid. not. ὀνύχων δάϊ' ἀμύγματα θήσομαι, iv. Androm. 818. cf. iv. Suppl. 835. et v. Troad. 281. εἰς ἄκρους τοὺς ὄνυχας, vi. Cycl. 159. et ὄνυχας ἐπ' ἄκρους, vii. Electr. 840. ὄνυξιν ἄγραν φέρουσαι, vii. Electr. 471.

Ὀξύη. χειρὶ ἔνθες ὀξύην, vi. Heracl. 727.

Ὀξύθηκτος. ὀξυθήκτῳ φασγάνῳ, iv. Androm. 1139. et ὀξυθήκτοις φασγάνοις, ibid. 1107. ὀξυθήκτῳ βέλει, vii. Electr. 1158.

Ὀξυθυμεῖν. ἦν ὀξυθυμῇς, iv. Androm. 687.
Ὀξυθυμία, iv. Androm. 726.
Ὀξύθυμος. γυνὴ ὀξύθυμος, ii. Med. 320. συγγένεια τραχεῖα κὀξύθυμος, vii. Fr. inc. B. XL. 2. ὀξυθύμου μὴ κρατῶν φρονήματος, i. Orest. 1197. τοὐξύθυμον, vi. Bacch. 660.
Ὀξύπους, i. Orest. 1567.
Ὀξύς. σίδηρον ὀξὺν, iv. Suppl. 599. πρὸς ὀξὺν ὄνυχα πετραίου λίθου, vi. Cycl. 400. ὀξὺς Ἄρης, vi. Heracl. 290. ὀξὺς θεῶν ὀφθαλμὸς εἰς τὰ πάντ' ἰδεῖν ἐστι, vii. Fr. inc. B. XII. 1. ὀξὺ βοῆς ἀκοῦσαν Ἄργος, i. Orest. 1545. ἐπ' ὀφθαλμοῖς ὀξὺ πάρεστιν, iv. Iph. Aul. 5. ὀξὺ φάσγανον, ibid. 1565. et v. Iph. Taur. 786. ὀξὺ βλέπει ὁ χρόνος, vii. Melan. Fr. XXV. 2.
Ὀξύστομος μάχαιρα, iv. Suppl. 1216.
Ὀξύφρων, ii. Med. 642.
Ὄπα, Dor. pro ὄπη, i. Orest. 1562.
Ὀπαδός. τέκνων ὀπαδὲ, ii. Med. 52. ὀπαδὸν Ἱππολύτου τόνδ' εἰσορῶ, iii. Hipp. 1146. ὀπαδοὶ, ibid. 107. vi. Heracl. 1053. vi. Helen. 1180. et vii. Electr. 360. ὀπαδῶν τίς ὄλεθρος γενήσεται; i. Orest. 1125. ἐξ ὀπαδῶν χειρὸς ὠθήσει βίᾳ, ii. Med. 336. δέδορκα τόνδε τῶν — ὀπαδῶν, ibid. 1116. vid. etiam iii. Alcest. 628. iv. Iph. Aul. 1462. v. Iph. Taur. 1209. et vii. Herc. Fur. 945. αἱ ὀπαδοὶ in fœmin. iii. Alcest. 137.
Ὀπάζειν. λοιβὰν, ἂν ὤπασεν Ἄρης, ii. Phœn. 1592. ὤπασε θέσπιν ἀοιδὰν, ii. Med. 425. τί — τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ; ibid. 517. ἀραῖσιν, ἃς — ὤπασεν Θησεῖ γέρας, iii. Hipp. 45. cf. ver. 894. φοίνια ὤπασας λέχεα, vii. Electr. 1190.
Ὀπάων. ὀπάονες, v. Troad. 873. vii. Electr. 1135. vid. etiam i. Hec. 965. i. Orest. 1109. vii. Ion. 980. et vii. Electr. 848.
Ὀπίας τυρος, vi. Cycl. 136.
Ὄπισθε, v. Iph. Taur. 1334. vi. Cycl. 541. et vii. Phaëth. Fr. VIII. 5. et ὄπισθεν, ii. Phœn. 1425. iii. Hipp. 1217. et iv. Suppl. 675.
Ὀπισθόπους. προσπόλων ὀπισθόπους κῶμος, iii. Hipp. 54. ὀπισθόπους φίλων ἡλίκων ὁμήγυρις, ibid. 1174.
Ὀπίσω. γράμματα σφραγίζεις, λύεις τ' ὀπίσω, iv. Iph. Aul. 38. τοὐπίσω οὐδὲν σκοπεῖ, vii. Alex. Fr. VIII. 2. χωρεῖ ὀπίσω — εἰς γαῖαν, vii. Chrys. Fr. VII. 8.
Ὁπλῆες, vii. Ion. 1580.
Ὁπλίζειν. ὁπλίζειν χέρα, v. Rhes. 84. οὐ δαῖτ' ὁπλίζει, vii. Ion. 851. χέρα τοξήρη ὁπλίσας, iii. Alcest. 35. ξιφηφόρους ὁπλίσασ' ὀπάονας, vii. Ion. 980. ὁπλίζεσθαι χέρα, i. Orest. 917. ὁπλιζώμεσθα φασγάνῳ χέρας, ibid. 1222. ὁπλίζου, ii. Med. 1237. ὁπλίζου χέρα σύμμαχον, v. Rhes. 23. cf. ver. 99. et 983. θυσίας, ἃς θεοῖς ὡπλίζετο, vii. Ion. 1124. βουσφαγεῖν ὡπλίζετο, vii. Electr. 627. ὡς εἰς ἔργον ὥπλισται στρατὸς, vi. Heracl. 672. ὡπλισμένος χεῖρα φασγάνῳ, ii. Phœn. 274. cf. iv. Androm. 1107. θώραξ' ἐχίδνης περιβόλοις ὡπλισμένον, vii. Ion. 993. οἶδα τοὺς ὡπλισμένους, ii. Phœn. 144. οἵδ' ὡπλισμένοι, vi. Heracl. 172. θύρσοις διὰ χερῶν ὡπλισμέναι, vi. Bacch. 722.
Ὅπλισμα. ὅπλισμα τοὐπιδαύρειον, iv. Suppl. 724. τῶν Βοιωτῶν ὅπλισμα, iv. Iph. Aul. 253.
Ὁπλίτης. γοργὸς ὁπλίτης, iv. Androm. 458. et 1112. ἄνδρ' ὁπλίτην, iv. Suppl. 595. πῶς ὁπλίτης, τευχέων ἄτερ, φανεῖ; vi. Heracl. 694. ὁπλίτην κόσμον, ibid. 699. ἢ παιδαγωγεῖν τὸν ὁπλίτην χρεών; ibid. 729. ὁπλίτην στρατὸν, ibid. 800. ἀνὴρ ὁπλίτης δοῦλός ἐστι τῶν ὅπλων, vii. Herc. Fur. 189. ὁπλίτας ἔταξεν ἀσπιδηφόροις ἔπι, ii. Phœn. 1112. ἱππεῖς ὁπλῖται, ibid. 1207. πολλῶν ὁπλιτῶν ἄρχομεν, iv. Androm. 758.
Ὅπλον. κάκιστον ὅπλον, vii. Herc. Fur. 160. τῷ καλλινίκῳ ὅπλῳ, ibid. 569. ὅπλον χερὸς, ibid. 937. 2) frequentius occurrit plur. ὅπλα. φέρειν ὅπλα, i. Hec. 14. χρυσέοις ξὺν ὅπλοις, ibid. 109. κύκλῳ εἱλισσόμεθα παγχάλκοις ὅπλοις, i. Orest. 438. cf. ii. Phœn. 1257. et 1378. iv. Suppl. 1161. iv. Iph. Aul. 1260. et v. Troad. 575. μεθ' ὅπλων ἀπόντα, i. Orest. 566. μυρίοις ὅπλοις βρέμων, ii. Phœn. 111. ὅπλοισι χρυσέοισιν ἐκπρεπὴς, ibid. 170. ἄσημ' ὅπλα, ibid. 1128. εἰς ὅπλ' ᾖσσον, ibid. 1480. ὅπλων ὄντες καὶ μάχης ἀΐστορες, iv. Androm. 680. φαεννοῖς στίλβων ὅπλοις, ibid. 1155. παρ' ὅπλοις ἥμενος, iv. Suppl. 367. cf. ver. 684. λάμπρ' ἀναρπάσας ὅπλα, ibid. 708. ὅπλων ἄρχοντα, iv. Iph. Aul. 374. ὅπλων Ἡφαιστοπόνων, ibid. 1072. ὅπλοις κοσμησάμενοι, v. Rhes. 990. στρατὸν ἐν ὅπλοις ὄντα, vi. Bacch. 299. εἰς ὅπλ' ἐχώρουν, ibid. 748. ὅπλ' ἐπαίρεσθαι θεῷ, ibid. 778. ὅπλων δίχα, ibid. 793. ἐκφέρετέ μοι δεῦρ' ὅπλα, ibid. 798. ὅπλ' ἔχων πορεύσομαι, ibid. 833. πόλις ἐν ὅπλοις, vi. Heracl. 400. αἰχμάλωθ' ὅπλα, ibid. 695. ὅπλων τήνδ' ὁρᾷς πανευχίαν, ibid. 720. ὅπλων ἔριν ἔθηκε συμμάχοις, vi. Helen. 100. χαλκήλαθ' ὅπλα, ibid. 1262. σῶμ' ὅπλοις ἠσκήσατο, ibid. 1378. οὔτοι σὺν ὅπλοις ἦλθον ἐς τὴν σὴν χθόνα; vii Ion. 1291. ὅπλοισιν αὐτὴν — ἐρρύσατο, ibid. 1297. δοῦλος τῶν ὅπλων, vii. Herc. Fur. 189. ὅπλοις ἀπαντῶν, ibid. 541. λυγραὶ τῶνδ' ὅπλων κοινωνίαι, ibid. 1369. γυμνωθεὶς ὅπλων, ibid. 1374. εἰς ὅπλ' ἔλθω; vii. Electr. 377. κέχρησ' ὅπλοις, vii. Antiop. Fr. XXVI. ὅπλων ἡδοναὶ, vii. Meleagr. Fr. XI. 2. etc.
Ὁπλοφόρος. σὺν ὁπλοφόροις, ii. Phœn. 801. ὁπλοφόρους Δαναῶν, iv. Iph. Aul. 190.

Ὀπόθεν, iv. Iph. Aul. 696.
Ὅποι. ὅποι γῆς, vi. Heracl. 19. et 46. etc.
Ὁποῖα, adverb. *qualiter*. i. Hec. 398.
Ὄπτεσθαι. οὐ παῖδας ὄψει ζῶντας, i. Hec. 1029. cf. ii. Med. 799. ὄψει νιν αὐτίκα, i. Hec. 1032. πότ' ὄψομαι Μενέλαον, i. Orest. 67. εἴ σ' ἡ 'πιοῦσα λαμπὰς ὄψεται θεοῦ, ii. Med. 353. μητέρ' οὐκέτ' ὄμμασιν φίλοις ὄψεσθε, ibid. 1035. σῶν τέκνων ὄψει φόνον, ibid. 1310. οὔποτ' ἄλλον ἄνδρα σωφρονέστερον ὄψεσθε, iii. Hipp. 1104. πανώλεθρόν μ' ὄψεαι πιτνοῦντα πρὸς γᾶν, iv. Androm. 1214. ὄψει δόμους ναίοντα νησιωτικούς, ibid. 1250. εἴπερ ὄψομαι τὰν ἄελπτον ἁμέραν, iv. Suppl. 793. τὸ πάντολμον ἔργον ὄψει, ibid. 1085. οὐκέτι φίλον ἄγαλμ' ὄψομαι σῆς ματρὸς, ibid. 1174. ποῦ σ' αὖθις ὀψόμεσθα; iv. Iph. Aul. 1026. εὐδαίμον' ἀνδρὸς ἐν δόμοισιν ὄψομαί σε, ibid. 1224. σύν σοί μ' ὄψει καρτεροῦντα, v. Rhes. 148. οὐ μητρὸς ὄψεται δέμας, ibid. 966. cf. vii. Ion. 565. ἐκείνας οὐκέτ' ὄψομαί ποτε, v. Troad. 490. πρῶτά νιν — ὄψεται δοκεύοντα, vi. Bacch. 971. πικρότατον ὕπνον ὄψομαι, vi. Cycl. 584. πόλιν πατρὸς ὄψεσθε, vi. Heracl. 876. λαμπάδα θεωρὸν Εἰκάδων ὄψεται, vii. Ion. 1077. εἴ σ' ὄψεταί τις θῆλυν, vii. Herc. Fur. 1405. οὐκ ἔτι σ' ὄψομαι, vii. Electr. 1329. ὀψόμενοι τυράννων φάσματα, ibid. 710. ὤφθη, vii. Ion. 1215. ὅτῳ ὤφθην εὐτυχοῦσα, i. Hec. 956. ὤφθημεν — ὄντες ἄθλιοι, v. Iph. Taur. 934. ὤφθη μᾶλλον, ἢ κατεῖδ. M. vi. Bacch. 1064. ὤφθη πῶς τὰ κρυπτὰ μηχανήματα; vii. Ion. 1116. ἐπεὶ ὤφθης, vii. Herc. Fur. 592. ὀφθητί μοι, vi. Bacch. 902. μὴ δρῶσ' ἐκεῖνον ὀφθείην κακῶς, iii. Hipp. 321. παρ' οἷσι μή ποτ' ὀφθείην, ibid. 432. ἢν ὀφθῇς ἐκεῖ, vi. Bacch. 811. φόνιον ὄψωμ' αἷμα, vii. Electr. 486. ὀφθῆναι κόραις, iv. Iph. Aul. 678. ὀφθεὶς, v. Rhes. 489. οὔτ' ἐξ ἐκείνων ἐλπὶς ὡς ὀφθήσομαι, v. Troad. 331. ὀφθησόμεσθα, vii. Herc. Fur. 1146. etc.
Ὀπτήρια, τὰ. παιδὸς ἀντ' ὀπτηρίων, vii. Ion. 1127.
Ὀπτός. μόσχον ὀπτὸν, vi. Cycl. 325. ἐφθὰ καὶ ὀπτὰ, ibid. 358.
Ὀπώρα, vii. Fr. inc. CXLIII. 2.
Ὀπωρινός. ὀρχάτους ὀπωρινοὺς, vii. Fr. inc. CLXIX. 2.
Ὅπως, *sic, ita*. i. Hec. 398.
Ὁρᾶν. ὅπως ὁρῶ κακῶν κάκ' ἄλλα μείζονα, i. Hec. 232. ὁρῶ σε δεξιὰν — κρύπτοντα χεῖρα, ibid. 342. οὔτ' ἐλπίδος ὁρῶ θάρσος παρ' ἡμῖν, ibid. 370. ἀνθρώπους ὁρᾶν, ibid. 486. δυστυχεστάτην σε ὁρῶ, ibid. 580. τίν' ἄνδρα τόνδ' — ὁρῶ θανόντα, ibid. 721. conf. ver. 821. ὡς ὁρᾷς, ibid. 1036. πνοὰς — πομπίμους ὁρῶ, ibid. 1272. ὅρα, — μὴ καταθανών σε λέληθε, i. Orest. 202. ὁρᾷς οὐδὲν, ὧν δοκεῖς σάφ' εἰδέναι, ibid. 253. γαλήν' ὁρῶ, ibid. 273. φάος ὁρῶ, ibid. 380. conf. iii. Alcest. 282. iv. Iph. Aul. 484. et 1394. v. Iph. Taur. 565. et 609. v. Rhes. 847. vi. Heracl. 969. vii. Ion. 1121. μῶν οὐχ ὁρᾷς, ἃ χρή σ' ὁρᾶν, ii. Phœn. 725. conf. vi. Bacch. 900. et 912. vii. Ion. 560. et vii. Inus Fr. XIV. 3. εἷς ἀνὴρ οὐ πάνθ' ὁρᾷ, ii. Phœn. 757. οὐχ ὁρᾷ Δίκα κακοὺς, ibid. 1740. ὁρῶ ἐξαμαρτάνων, ii. Med. 351. ὁρᾷς, ἃ πάσχεις; ibid. 405. ὁρῶ μὲν τάσδε δυστήνους τύχας, iii. Hipp. 268. πόσους δοκεῖς — νοσοῦνθ' ὁρῶντας λέκτρα, μὴ δοκεῖν ὁρᾶν; ib. 465. ἐμοὶ οὐ θέμις φθιτοὺς ὁρᾶν, ib. 1435. νερτέρων ὁρῶ πύλας, ibid. 1445. ὁρῶ δίκωπον, ὁρῶ σκάφος, iii. Alcest. 260. ὅρα γε, μή τι φάσμα νερτέρων τόδ' ᾖ, ibid. 1146. κακῶν τοσούτων οὐχ ὁρᾷς ἐπιῤῥοάς; iv. Androm. 349. κακὸν οἷον ὁρῶ τόδε, ibid. 1162. conf. iv. Suppl. 802. τἀναγκαῖ' ὁρᾶν, iv. Suppl. 865. ὁρῶ τελευτὰν, ibid. 1022. οὐδὲ ἡδέως ὁρᾷς, iv. Iph. Aul. 1122. στρατὸς πρὸς πλοῦν ὁρᾷ, ibid. 1623. τἀῤῥηθ' ὁρᾶν, v. Iph. Taur. 1199. ὅρα τὸ μέλλον, v. Rhes. 328. ὅρα, — μὴ φύλαξιν ἐντύχῃς, ibid. 566. τέλος οἰκτρὸν ὁρᾷς, v. Troad. 604. φέγγος τόδ' οὐχ ὁρᾷς, vi. Bacch. 206. ὁρῶσιν τὰ βροτῶν οὐρανίδαι, ibid. 388. τὸν θεὸν ὁρᾶν σαφῶς, ibid. 469. ὁρᾶν μοι δύο ἡλίους δοκῶ, ibid. 906. ὡς ὁρῶμεν, οὐχ ὁρώμενοι, ibid. 1039. ὁρῶ μέγιστον ἄλγος, ibid. 1272. τίν' ὄχλον τόνδ' ὁρῶ; vi. Cycl. 222. ξέν' ὅρα τάδε, ibid. 354. τόνδ' ἀγῶν' ὁρῶ πέλας, vi. Heracl. 333. ἀγγέλοισι τοὺς ἐναντίους ὁρᾶν, ibid. 393. ἥδιστον, ἐχθρὸν ἄνδρα δυστυχοῦνθ' ὁρᾶν, ibid. 940. ὥσπερ σὲ — ὀφθαλμοῖς ὁρῶ, vi. Helen. 118. χθόνα πάτριον οὐχ ὁρᾷς, ibid. 222. αὐχμηροὶ ὁρᾶν, ibid. 1539. δεσπότην ὁρᾶν πάρα, vii. Ion. 518. θαύματ' ἀνθρώποις ὁρᾶν, ibid. 1142. τί δῆτα φάσμα τῶν ἀνελπίστων ὁρῶ; ibid. 1394. μὴ τὰ δαιμόνων ὁρῶμεν, εἰ μὴ καιρός ἐσθ' ἡμᾶς ὁρᾶν, ibid. 1552. ποῖ ὄνειρα κηραίνουσ' ὁρῶ, vii. Herc. Fur. 517. ὅρα, μὴ παρὰ γνώμην πέσῃς, ibid. 592. ὡς ὁρᾶν ἐφαίνε, ibid. 997. παρ' Ἥρας ὁρᾷς θρόνων τάδε; ibid. 1118. τὰς ἐμὰς φυγὰς ὁρᾷς, ibid. 1350. ὁρῶ ἐλπίδ' ἐξ ἀμηχάνων, vii. Electr. 624. ὁρᾶτε τὸν τύραννον, vii. Alcmæon. Fr. IX. 1. ταῦτα σκεθρῶς ὁρᾶν ἡμᾶς ἀνάγκη, ejusd. Fr. XIII. 1. ὁρῶ ἀνδρῶν τόνδε γυμνάδα στόλον, vii. Alop. Fr. IV. 1. τὸ δαιμόνιον οὐχ ὁρᾷς — vii. Andromed. Fr. VIII. 1. τὸ δοῦλον οὐχ ὁρᾷς ὅσον κακόν; vii. Antiop. Fr. XV. ὁ χρόνος, ὃς τὰ πάνθ' ὁρᾷ, vii. Melan. Fr. XXV. 2. ὁρᾷς μ' ὡς ἐπράΰνας, vii. Meleagr. Fr. XIX. ὁρῶσιν οἱ διδόντες εἰς τὰ χρήματα, vii. Peliad. Fr. VII. ὁρᾷς τὸν ὑψοῦ — αἰθέρα — vii. Fr. inc. I. 1. τὸ φῶς ὁρῶν, i. Orest. 1538. conf. iii. Alcest. 707. γέγηθά σ' ὁρῶν, iv. Iph. Aul. 649. ὁρῶν ὁρῶντα, vi.

Bacch. 462. ὁρῶντος εἰς Κύπριν, vii. Antig. Fr. vi. 1. ὃ βούλεται μόνον ὁρῶν, vii. Fr. inc. xxxii. 1. τὸν πάνθ' ὁρῶντα, κ' αὐτὸν οὐχ ὁρώμενον, eorund. cxlvi. 2. τὸν κατθανόνθ' ὁρῶντες οὐ τιμώμενον, i. Hec. 316. πλοῦν ὁρῶντας ἥσυχον, ibid. 889. φῶς ὁρῶντες ἡλίου, iii. Hipp. 4. τὰ φθιτῶν τοῖς ὁρῶσι κόσμος, iv. Suppl. 89. τυφλοῖς ὁρῶντας οὐτάσας τοξεύμασιν, vii. Herc. Fur. 198. τῆσδ' ὁρώσης φέγγος, iii. Hipp. 1027. τὴν οὐ κλύουσαν, οὐδ' ὁρῶσαν, iii. Alcest. 415. ἐς τὴν τύχην ὁρῶσα, v. Troad. 1001. Δίκη πάνθ' ὁρῶσα, vii. Electr. 771. σκῦλα βροτοφθόρα χαίρεις ὁρῶσα, vii. Aug. Fr. ix. 2. οὐχ ὁρᾶσθ' ἐκηβόλων τόξων γλυφίδας; i. Orest. 267. τί μ' ἐχρῆν ἔτι φέγγος ὁρᾶσθαι; iv. Androm. 113. τύμβον βουλοίμην ἂν ἀξιούμενον τὸν ἐμὸν ὁρᾶσθαι, i. Hec. 320. πολὺ ἁβροσύνῃ δῆλος ὁρᾶσθαι, i. Orest. 344. πυριφλέγων ὁρᾶσθαι λέων, vi. Bacch. 1007. κακοὺς ὁρᾶσθαι, vi. Heracl. 511. πρόσθεν μελάθρων ὁρωμένη, iv. Androm. 870. οὗ γε μηδ' ὁρωμένου πίστις παρῆν, iv. Iph. Aul. 1585. ἔστιν οὐχ ὁρώμενον — δαιμόνιον, vii. Fr. inc. B. xii. 2. ἐγγύθεν ὁρωμένων (sc. πραγμάτων) vii. Ion. 586. etc.

Ὀργαίνειν, iii. Alcest. 1125.

Ὄργανον. παλαιὸν ὄργανον, vii. Ion. 1030. λαϊνέοις Ἀμφίονος ὀργάνοις, ii. Phœn. 114. ὀργάνοισιν ἐξησκημέναι Μοῦσαι, v. Rhes. 919. λογχοποιῶν ὄργανα, vi. Bacch. 1197.

Ὀργάνος. ὀργάνον χέρα, iv. Androm. 1005.

Ὀργάς. πρὸς Ἴδης ὀργάδας, v. Rhes. 278. conf. vi. Bacch. 336. 437. et vii. Electr. 1163.

Ὀργή. ὀργή σου καὶ τὸ γῆρας οὐ σοφὸν, i. Orest. 484. εἰς ὀργὴν πεσὼν, ibid. 688. ὀργὴν Μενέλεῳ ποιούμενος, ibid. 1647. τραχεῖαν ὀργὴν, ii. Med. 448. δεινὴ καὶ δυσίατος ὀργὴ, ibid. 520. conf. v. Iph. Taur. 988. λήξασα ὀργῆς, ii. Med. 615. ὀργῇ τεθηγμένος φρένας, iii. Hipp. 687. ὀργῆς ἐξανεὶς κακῆς, ibid. 904. οὐκ ὀργῆς χάριν, iv. Androm. 686. ὀργῆς ὕπο, iv. Iph. Aul. 335. et vi. Bacch. 747. ἣν ὀργῇ — ἐξ ὄρους Βάκχας ἄγειν ζητῇ, vi. Bacch. 51. ὀργῇ ὑπόθες ἥσυχον τρόπον, ibid. 636. ὀργῇ εἶξα μᾶλλον, ἢ μ' ἐχρῆν, vi. Helen. 80. ὀργῇ χολωθεὶς, vii. Dan. 40. ὀργῇ ὅστις εὐθέως χαρίζεται, vii. Æol. Fr. iii. 1. ὀργῇ φαύλῃ πόλλ' ἔνεστ' ἀσχήμονα, vii. Archel. Fr. vi. ἔξω ὀργῆς πᾶς ἀνὴρ σοφώτερος, vii. Hyps. Fr. vii. τὴν ὀργὴν ἔχειν ἀθάνατον, vii. Phil. Fr. x. 2. ὀργὴν πραΰνουσα, vii. Phryx. Fr. xi. 3. αἰδὼς ὀργῆς πλεῖον ὠφελεῖ βροτοὺς, vii. Tem. Fr. iv. οὐδεὶς μετ' ὀργῆς οὐδὲν εὖ βουλεύεται, vii. Fr. inc. xxiii. 1. 2) Dor. ὀργά. βαρύθυμον ὀργὰν, ii. Med. 177. ἐκ πατρὸς ὀργᾶς, iii. Hipp. 1122. οἵαν ὀργὰν ἀναφαίνει, vi. Bacch. 529. παρανόμῳ ὀργᾷ, ibid. 985. 3) plur. χαλεπῶς ὀργὰς μεταβάλλουσι, ii. Med. 121. βασιλέων ὀργὰς ἀφῄρουν, ibid. 457. conf. ver. 1147. ἀμφιλόγους ὀργὰς, ibid. 637. ὀργὰς φέρειν, ibid. 866. ὀργὰς ποιεῖσθαι, ibid. 905. Πανὸς ὀργὰς, ibid. 1169. ὀργαὶ εἴς σ' ἀπέσκηψαν θεᾶς, iii. Hipp. 440. et ὀργαὶ κατασκήψουσιν εἰς τὸ σὸν δέμας, ibid. 1416. ὀργὰς μαλάσσουσ' ἀνδρὸς, iii. Alcest. 787. ὀργὰς ἠπίους, v. Troad. 53. ὀργὰς πρέπει θεοὺς οὐχ ὁμοιοῦσθαι βροτοῖς, vi. Bacch. 1338. μειλίσσων στυγίους ματρὸς ὀργὰς, vi. Helen. 1339. ἐπίσχες ὀργὰς, ibid. 1641. ὀργὰς δικαίας ἔχειν, vii. Herc. Fur. 276. ἤλασ' εἰς ὀργὴν πόσιν, vii. Electr. 1110. δειναὶ ὀργαὶ κυμάτων θαλασσίων, vii. Fr. inc. liii. 1. conf. vii. Fr. inc. B. xxxix. 1.

Ὄργια, sacra in honorem Bacchi celebrata. vi. Bacch. 34. 79. 258. 462. 463. 468. 474. 986. et 1069. τὰ μυστῶν ὄργι' εὐτύχησ' ἰδὼν, vii. Herc. Fur. 612.

Ὀργιάζειν, vi. Bacch. 410.

Ὀργίζεσθαι. οὐ πεπρωμένοισιν ὀργίζει γάμοις, vi. Helen. 1645. ἀπειλήσας ὀργιεῖσθαι μὴ λαβοῦσιν, vii. Epist. i. lin. 13. ὡς τότ' ἦσθ' ὠργισμένος, iii. Hipp. 1411. ὅταν ὀργισθῇ δαίμων, ii. Med. 129. ὀργισθῇς δὲ μὴ, iv. Iph. Aul. 631. et 637.

Ὀρέγειν. ὄρεγε νῦν, ὄρεγε γεραιὰν νέᾳ χεῖρα, ii. Phœn. 101. conf. ver. 1725. ὀρέξας δεξιὰν, vi. Heracl. 844. ἆρα φίλην ὀρέξετ' ὠλένην; ii. Med. 898. Κυκλωπείαν πόλιν ὠρέξατ' οἰκεῖν, vii. Herc. Fur. 16. τίς τῶν μεγίστων δειλὸς ὢν ὠρέξατο; vii. Archel. Fr. xii. 3. σῖτον ὄρεξαι, i. Orest. 297. φόνιον αἰώρημα διὰ δέρης ὀρέξομαι, vi. Helen. 352. ἱκέτις ὠρέχθης ἐμοῦ, vi. Helen. 1237. εἰ δυνάμεώς τινος ὠρέχθημεν, vii. Epist. v. lin. 92. conf. lin. 49. ὀρεχθῆναι γάμων, vii. Ion. 841. οἵων ὀρεχθεὶς, i. Orest. 322.

Ὄρεγμα παρηΐδων, ii. Phœn. 316. ὄρεγμα τύμβου, vi. Helen. 545.

Ὀρειβάτης, v. Troad. 438.

Ὀρειδρόμος ἔλαφος, iv. Iph. Aul. 1592.

Ὄρειν. οἵαν σοι λώβαν — ὦρσέν τις δαίμων, i. Hec. 200. ὦρσε στρατὸν, iv. Androm. 1137. τί με δῆτ' ὄρσεις, vi. Bacch. 1158. δι' ἄλσος Ἀρτέμιδος ἤλυθον ὀρομένα, iv. Iph. Aul. 186.

Ὀρεινόμος. τὰν ὀρεινόμον Κενταύρων γένναν, vii. Herc. Fur. 364.

Ὄρειος. δρυμὸς ὄρειος, iii. Hipp. 1125. κλῶν' ὄρειον, vi. Bacch. 1057. θηρῶν ὀρείων, iii. Alcest. 511. et θηρσὶν ὀρείοισι, iv. Suppl. 49. ὀρείαν ἐκβολὰν, i. Hec. 1061. πέτρας ὀρείας παῖς, ibid. 1092. σκύμνον ὀρείαν, i. Orest. 1503. καθ' ἑπτάτονον ὀρείαν χέλυν, iii. Alcest. 458. τῆς ὀρείας μελίσσης, v. Iph. Taur. 634. ὀρεία μάτηρ θεῶν, vi. Helen. 1300. conf. vii. Cret. Fr. ii. 14. ὀρεία λέαινα, vii. Electr. 1163. ὀρείαν πι-

δάκων ἐν ῥοαῖς, iv. Androm. 284. Νύμφας ὀρείας, vi. Cycl. 4.

Ὀρεσκόος. δαιτὸς ὀρεσκόου, vi. Cycl. 247. ὀρεσκῴων σκυλάκων, iii. Hipp. 1271.

Ὀρεσσίγονος. ὀρεσσιγόνοισι θεαῖς, vii. Xantr. Fr. ver. 1.

Ὀρέστειος. τῆς Ὀρεστείας χερὸς, iv. Androm. 1231. Ὀρέστειον δάπεδον, i. Orest. 1664.

Ὀρέστερος. θηρὸς ὀρεστέρου, i. Hec. 1041. ὀρεστέρου λέοντος, vi. Bacch. 1130. κάπροι ὀρέστεροι, i. Orest. 1464. τὰν ὀρεστέραν παρθένον, v. Troad. 553.

Ὀρέστης, Agamemnonis et Clytæmnestræ filius. i. Orest. 24. etc. iv. Androm. 877. iv. Iph. Aul. 418. 465. 622. 1119. et 1450. v. Iph. Taur. 56. etc. vii. Electr. 15. etc. et Dor. Ὀρέστας, i. Orest. 1437. et 1475. et v. Iph. Taur. 236.

Ὀρθεύειν. ὃς σὸν ὤρθευεν δέμας, i. Orest. 399.

Ὄρθιος. ἀπ' ὀρθίου πύργου, ii. Phœn. 1238. et πύργων ἀπ' ὀρθίων, iv. Androm. 10. ὀρθίαν σάλπιγγος ἠχὼ, v. Troad. 1257. πρόσβασιν ὀρθίαν, vii. Electr. 489. ὀρθίους ἐθείρας, vi. Helen. 631. ὀρθίῳ κηρύγματι, iv. Iph. Aul. 94. ἐπεὶ ἐσήμην' ὄρθιον σάλπιγγι, vi. Heracl. 830. περγάμων ἀπ' ὀρθίων, ii. Phœn. 1114.

